Δαμαρετίου χρυσοῦ τᾶς δεκάτας δεκάτων.

468. Τῇ Λητοῖ, παρὰ ναυτῶν.

ΤΟΥ ΑΥΤΟΥ.

Ταῦτ' ἀποδυσαμένων Μήδων ναῦται Διοδώρου
Ὅπλ' ἀνέθεντο Λατοῖ μνάματα ναυμαχίας.

469. ΤΟΥ ΑΥΤΟΥ.

Σῶσος καὶ Σωσὼ σωτήρια τήνδ' ἀνέθηκαν,
Σῶσος μὲν σωθεὶς, Σωσὼ δ' ὅτι Σῶσος ἐσώθη.

470. Ἀνάθημα ἐπὶ Γάλλῳ λάτριδι τῆς Κυβέλης.

ΤΟΥ ΑΥΤΟΥ.

Χειμερίην νιφετοῖο κατήλυσιν ἡνίκ' ἀλύξας
Γάλλος, ἐρημαίην ἦλθεν ὑπὸ σπιλάδα,
Ὑετὸν ἄρτι κόμης ἀπεμόρξατο· τοῦ δὲ κατ' ἴχνος
Βουφάγος εἰς κοίλην ἀτραπὸν ἵκτο λέων.
Αὐτὰρ ὁ πεπταμένον μέγα τύμπανον ἔσχε, τὸ χειρὶ
Ἤραξεν, καναχῇ δ' ἴαχεν ἄντρον ἅπαν.

Οὐδ'

Οὐδ' ἔτλη Κυβέλης ἱερὸν νόμον ὑλονόμος θὴρ
Μεῖναι, ἀν' ὑλῆεν δ' ὠκὺς ἔθυνεν ὄρος,
Δείσας ἡμιγυναίκα θεῆς λάτριν, ὃς τάδε Ῥείᾳ
Ἔνδυτα, καὶ ξανθοὺς ἐκρέμασε πλοκάμους.

471. Εἰς τοῦτο.

ΔΙΟΣΚΟΡΙΔΟΥ.

Σάρδις Πισινόεντος ἀπὸ Φρυγὸς ἤθελ' ἱκέσθαι
Ἔκφρων μαινομένην δοὺς ἀνέμοισι κόμην
Ἁγνὸς Ἄτυς, Κυβέλης θαλαμηπόλος, ἄγρια δ' αὐτοῦ
Ἐψύχθη χαλεπῆς πνεύματα θευφορίης
Ἑσπέριον στείχοντος ἀνὰ κνέφας. Εἰς δὲ καταντὲς
Ἄντρον ἔδυ, νεύσας βαιὸν ἀπώθεν ὁδοῦ.
Τοῦ δ' λέων ὤρουσε κατὰ στίβον, ἀνδράσι δεῖμα
Θαρσαλέοις, Γάλλῳ δ' οὐδ' ὀνομαστὸν ἄχος.
Ὃς τότ' ἄναυδος ἔμεινε δέους ὕπο, καί τινος αὔρῃ
Δαίμονος εἰς τὸν ἑὸν τύμπανον ἧκε χέρας.
Οὗ βαρὺ μυκήσαντος ὁ θαρσαλεώτερος ἄλλων
Τετραπόδων ἐλάφων ἔδραμων ὀξύτερος,
Τὸν βαρὺν οὐ μείνας ἀκοῆς ψόφον. Ἐκ δὲ βοήσας
Μητέρα Σαγγαρίου χείλεσι πὰρ ποταμοῦ,

Ἰρήν σοι θαλάμην, ζωάγρια, καὶ λαλάγημα
  Τοῦτο, τὸ θῆρε φυγῆς αἴτιον, ἀντίθεμαι.

472. ΘΕΩΡΙΔΑ.

Εἰς σκολοπένδραν.

Μυριόπουν σκολόπενδραν ὑπ' ὠρίωνι κυκηθεὶς
  Πόντος Ιαπύγων ἔβρασ' ἐπὶ σκοπέλους.
Ἧς τόδ' ἀπὸ βλοσυροῦ πελάγευς μέγα πλεῦρον ἀνῆψαν
  Δαίμοσι βουφόρτων κοίρανοι εἰκοσόρων.

473. ΑΝΤΙΠΑΤΡΟΥ.

Εἰς τὸ αὐτὸ.

Λέψανον ἀμφίκλαστον ἁλιπλανέος σκολοπένδρας
  Τοῦτο, κατ' εὐψαμάθου κείμενον ἠιόνος,
Διστάκι τετρόργυιον, ὑπαιπεφορυγμένον ἀφρῷ,
  Πολλὰ θαλασσαίῃ ξανθὲν ὑπὸ σπιλάδι,
Ἑρμῶναξ ἐκίχανεν, ὅτε γριπηΐδι τέχνῃ
  Εἷλκε τὸν ἐκ πελάγους ἰχθυόεντα βόλον.
Εὑρὼν δ' ἤρτησε Παλαίμονι παιδὶ καὶ Ἰνοῖ,
  Δαίμοσιν εἰναλίοις, δοὺς τέρας εἰνάλιον.

474. ΘΕΩΡΙΔΑ.

Ἐπὶ κοχλίᾳ θαλασσίῳ.

Εἰνάλιε λαβύρινθε, τύ μοι λέγε, τίς σ᾽ ἀνέθηκεν
 Ἀγρέμιον πολιᾶς ἐξ ἁλὸς εὑράμενος;
Παίγνιον ἀντριάσιν Διονύσιος ἄνθετο Νύμφαις
 (Δῶρον δ᾽ ἐξ ἱερᾶς εἰμὶ Πελωριάδος·)
Υἱὸς Πρωτάρχȣ, σκόλιος δ᾽ ἐξέπλυσε πόρθμος,
 Ὄφρ᾽ ἔην λιπαρῶν παίγνιον ἀντριάδων.

475. ΝΙΚΑΙΝΕΤΟΥ.

Ἡρῷσσαι, Λιβύων ὄρος ἄκριτον αἵ τε νέμεσθε
 Αἰγίδι καὶ στρεπτοῖς ζωσάμεναι θυσάνοις,
Τέκνα θεῶν, δέξασθε Φιλητίδος ἱερὰ ταῦτα
 Δράγματα, καὶ χλωρȣ̀ς ἐκ καλάμης στεφάνȣς,
Ὡς ἀπὸ λικμητȣ̃ δεκατεύεται. Ἀλλὰ καὶ ȣ̔́τως,
 Ἡρῷσσαι, Λιβύων χαίρετε δεσπότιδες.

476. ΛΕΩΝΙΔΟΥ.

Τȣ̃το τὸ τȣ̃ Κλείτωνος ἐπαύλιον, ἥ τ᾽ ὀλιγώλαξ
 Σπείρεσθαι, λιτὸς δ᾽ ὁ σχεδὸν ἀμπελέων,

Τοῦτό τε ῥωπεύειν ὀλιγόξυλον. Ἀλλ' ἐπὶ τούτοις
  Κλείτων ὀγδώκοντ' ἐξεπέρησ' ἔτεα.

477. ΚΡΙΝΑΓΟΡΟΥ.

Ἀργυρέον σοι τόνδε γενέθλιον εἰς τεὸν ἦμαρ,
  Πρόκλε, νεόσμηκτον δουρατίην κάλαμον,
Εὖ μὲν ἐϋχίστοισι διάγλυπτον κεράεσσι,
  Εὖ δὲ ταχυνομένην εὔροον εἰς σελίδα,
Πέμπει Κριναγόρης ὀλίγην δόσιν· ἀλλ' ἀπὸ θυμοῦ
  Πλείονος ἀρτιδαῆ σύμπονον εὐμαθίῃ.

478. ΤΟΥ ΑΥΤΟΥ.

Αἰέτου ἀγκυλόχειλος ἀκρόπτερον ὀξὺ, σιδήρῳ
  Γλυφθὲν, καὶ βαπτῇ πορφυρέον κυάνῳ,
Ἤν τι λάθῃ μίμνον μεταδόρπιον ἐγγὺς ὀδόντων,
  Κινῆσαι πρηεῖ κέντρῳ ἐπιστάμενον,
Βαιὸν ἀπ' οὐκ ὀλίγης πέμπει φρενὸς, οἷα δὲ λιτὰς
  Δῶρ' ἂν ὀπάσσον σοι, Λεύκιε, Κριναγόρης.

479. ΚΟΙΝΤΟΥ.

Ἀκρίτᾳ Φοίβῳ, Βιθυνίδος ὃς τόδε χώρης
  Κράσπεδον αἰγιάλοις γειτονέον συνέχει,

Δᾶμις ὁ κυρτευτὴς ψάμμῳ κέρας αἰὲν ἐρείδων
Φρουρητὸν κήρυκ' αὐτοφυῆ σκόλοπι
Θῆκε γέρας, λιτὸν μὲν, ἐπ' εὐσεβίῃ δ' ὁ γεραιὸς
Εὐχόμενος νούσων ἐκτὸς ἰδεῖν ἀΐδην.

480. ΦΙΛΙΠΠΟΥ.

Αἰγύπτου μεδέουσα μελαμβώλου, λινόπεπλε,
* Δαῖμον, ἐπ' εὐϊέρους θῆθι θυηπολίας.
Σοὶ γὰρ ὑπὲρ σχιδάκων λαγαρὸν ποπάνευμα πρόκειται,
Καὶ πολιὸν χηνῶν ζεῦγος ἐνυδροβίων,
Καὶ νάστρα ψαφαρὴ κεγχρειτίσιν ἰσχάσιν ἀμφὶ,
Καὶ σταφυλὴ γραιὴ, χὼ μελίπνους λιβανὸς.
Εἰ δ', ὡς ἐκ πελάγους ἐῤῥύσαο Δᾶμιν, ἄνασσα,
Κῆκ πενίης, θύσει χρυσόκερων κεμάδα.

481. ΚΡΙΝΑΓΟΡΟΥ.

Βότρυες οἰνοπέπαντοι, εὐσχίστοιο τε ῥοιῆς
Θρύμματα, καὶ ξανθοὶ μύελοι ἐκ στροβίλων,
Καὶ δειλαὶ δακρυοῦσαι ἀμυγδαλαὶ, ἥ τε μελισσῶν
Ἀμβροσίη, πυκναί τ' ἰτρινέαι ποπάδες,

* Sc. Iſis.

Καὶ

Καὶ πολιμοὶ γέλγιθες, ἰδ' ὑετοκυκάδες ὄχναι,
 Δαψιλῆ οἰνοπόταις γαστρὸς ἐπεισόδια,
Πανὶ φιλοσκήπωνι, καὶ εὐστόρθυγγι Πριήπῳ,
 Ἀντίθεται λιτὴν δαῖτα Φιλοξενίδης.

482. ΜΑΙΚΙΟΥ.

Γομφιόδουπα χάλινα, καὶ ἀμφίτρητον ἀπείρκταν
 Κημὸν, καὶ γενύων σφίγκτορ' ἐΰῤῥαφέα,
Τάνδε τ' ἐπιπλήκτειραν ἀποῤῥύτοιο διωγμοῦ,
 Μάστιγα, σκαιοῦ δῆγμά τ' ἐπιψελίου,
Κέντρα δ' ἐναιμήεντα διωξίπποιο μύωπος,
 Καὶ πρισὸν ψήκτρης κνῆσμα σιδηροδέτου,
† Διπλοῖς ἠϊόνων ὠρύγμασιν, Ἴσθμιε, τερφθεὶς,
 Δῶρα, Πόσειδον, ἔχεις ταῦτα παρὰ Στρατίου.

483. ΕΡΥΚΙΟΥ.

Γάλλος ὁ χαιτήεις, ὁ νεητόμος, ὡ 'πὸ Τυμώλου
 Λύδιος ὀρχηστὴς μάκρ' ὀλολυζόμενος
Τᾷ παρὰ Σαγγαρίῳ τάδε ματέρι, τύμπανα ταῦτα
 Θήκατο, καὶ μάστιν τὰν πολυαστράγαλον,

† Saronici & Criſſæi.

Ταῦτα

Ταῦτά τ᾽ ὀρειχάλκου λάλα κύμβαλα, καὶ μυρόεντα
Βόστρυχον, ἐκ λύσσας ἄρτ᾽ ἀναπαυόμενος.

484. ΘΑΛΛΟΥ.

Ἑσπερίοις μέγα χάρμα καὶ ἠῴοις περάτεσσι,
* Καῖσαρ, ἀνικάτων ἔκγονε Ρωμυλιδῶν,
Αἰθερίην γένεσίν σεο μέλπομεν, ἀμφὶ δὲ βωμοὺς
Γηθοσύνους λοιβὰς σπένδομεν ἀθανάτοις.
Ἀλλά συ παππῴοις ἐπὶ βήμασιν ἴχνος ἐρείδων
Εὐχομένοις ἡμῖν πουλὺ μόλοις ἐπ᾽ ἔτος.

485. ΑΝΤΙΣΤΙΟΥ. †

Ἔνδυτα καὶ πλοκάμους τούτους θέτο Γάλλος ὀρείῃ
Μητρὶ θεῶν, τοίης εἵνεκα συντυχίης.
Μούνῳ οἱ στείχοντι λέων ἄντασε καθ᾽ ὕλαν
Αργαλέος, ζωᾶς δ᾽ ἆθλον ἀπεκρέματο.
Ἀλλὰ θεὴ Γάλλῳ μὲν ἐπὶ φρενὸς ἧκεν ἀράξαι
Τύμπανον, ὠμηστὰν δ᾽ ἔτραπε φυζαλέον,
Φθόγγον ὑποδδείσαντα πελώριον, εἵνεκα τοῦδε
Πλοχμοὶ συρικτᾶν κεῖνται ἐπ᾽ ἀκρεμόνων.

* Forte Germanicus. † Conf. Car. 470. 471. ſup.

486. ΑΠΟΛΛΩΝΙΔΑ.

Σώφρων οὐ πεδίου πολυαύλακος εἰμ' ὁ γεραιὸς,
Οὐδὲ πολυγλεύκου γειομόρος βότρυος.
Ἀλλ' ἀρότρῳ βραχύβωλον ἐπικνίζοντι χαράσσω
Χερσόν, καὶ βαιοῦ πίδακα ῥωγὸς ἔχω.
Ἐστὶ μὲν ἐξ ὀλίγων ὀλίγη χάρις· εἰ δὲ διδοίης
Πλείονα, καὶ πολλῶν, δαῖμον, ἀπαρξόμεθα.

487. ΤΟΥ ΑΥΤΟΥ.

Σμήνεος ἔκ με ταμὼν, γλυκερὸν θέρος ἀμφινομαίων,
Γηραιὸς Κλείτων σπεῖσε μελισσοπόνος,
Ἀμβροσίων ἔαρος κηρῶν μέλι πολλὸν ἀμέλξας,
Δῶρον ἀποιμάντου τηλοπέτευς ἀγέλης.
Θείης δ' ἐσμοτόκον τόκον ἄπλετον, ἐκ δὲ μελιχροῦ
Νέκταρος ἐμπλήσαις κηροπαγεῖς θαλάμας.

488. ΚΡΙΝΑΓΟΡΑ.

Ἠοῖ ἐπ' εὐκταίῃ τάδε ῥέζομεν ἱρὰ τελείῳ
Ζηνὶ, καὶ ὠδίνων μειλίχῳ Ἀρτέμιδι.
Τοῖσι γὰρ οὑμὸς ὅμαιμος ἔτ' ἄχνοος ἤυξατο θήσειν
Τὸ πρῶτον γενύων ἠϊθέοισιν ἔαρ.

Δαίμονες,

Δαίμονες, ἀλλὰ δέχοισθε, ϗ αὐτίκα τῶνδ' ἀπ' ἰȣλων
 Ἔυκλείδην πολιῆς ἄχρις ἄγοιτε τριχός.

489. ΤΟΥ ΑΥΤΟΥ.

Ἥρη Εἰλειθυιῶν μήτηρ, κȣρηγὲ, τελείη,
 Καὶ Ζεῦ γινομένοις ξυνὸς ἅπασι πατὴρ,
Ὠδῖνας νεύσαιτ' Ἀντωνίῃ ἱλαοὶ ἐλθεῖν
 Πρηείας, μαλακαῖς χερσὶ σὺν Ἠπιόνης.
Ὄφρα γεγηθήσειε πόσις μητήρ θ' ἑκυρά τε.
 Ἡ νήδυς οἴκων αἷμα φέρει μεγάλων.

490. ΔΙΟΔΩΡΟΥ.

Καρπαθίην ὅτε νυκτὸς ἅλα ϛρέψαντος ἀήτȣ
 Λαίλαπι βορραίῃ κλασθὲν ἐσεῖδε κέρας,
Εὔξατο, κῆρα φυγὼν, Βοιώτιε, σοί με, Κάβειρȣ
 Δέσποτα, χειμερίης ἄνθεμα ναυτιλίης,
Ἀρτήσειν ἁγίοις τόδε λώπιον ἐν προπυλαίοις,
 Διογένης. Ἀλέκοις δ' ἀνέρι ϗ πενίην. *

* Ut naufragium ſcil. arcuiſti.

491. ΑΡΓΕΝΤΑΡΙΟΥ.

Κύπριδι κεῖσο, λάγυνε, μεθυσφαλὲς αὐτίκα δῶρον
Κεῖσο, κασιγνήτη νεκταρέης κύλικος.
Βακχιὰς ὑγρόφθογγε, συνέστιε δαιτὸς ἐίσης,
Στειναύχην ψήφου συμβολικῆς θύγατερ,
Θνητοῖς αὐτοδίδακτε διηκόνε, μύστι φιλούντων
Ἡδίστη, δείπνων ὅπλον ἑτοιμότατον.
Εἴης ἐκ Μάρκου γέρας ἄγλαον, ὅς σε, φίλοινε,
Ἤνεσεν ἀρχαίην σύμπλανον ἀνθέμενος.

492. ΑΝΤΙΦΙΛΟΥ.

Λιτὸς ἐγὼ τὰ τύχης, ὦ δέσποινα, φημὶ δὲ πολλῶν
Πλοῦτον ὑπερκύπτειν, ἔσσεν ἀπὸ κραδίης.
Ἀλλὰ δέχευ χλιαροῖο βαθυῤῥαίνοιο τάπητος
Ἔνδυτον, εὐανθεῖ πορφύρῃ εἰβόμενον,
Εἴριά τε ῥοδόεντα, καὶ εἰς κυανότριχα χαίτην
Νάρδον ὑπὸ γλαυκῆς κλειομένην ὑάλου.
Ὄφρα χιτὼν μὲν χρῶτα περισκέπῃ, ἔργα δ' ἐλέγχῃ
Χεῖρας, ὁ δ' εὐώδης ἀτμὸς ἔχῃ πλοκάμους.

493. ΦΙΛΙΠΠΟΥ.

Λευκάδος αἰπὺν ἔχων ναύταις τηλέσκοπον ὄχθον,
Φοῖβε, τὸν Ἰονίῳ λουόμενον πελάγει,
Δέξαι πλωτήρων μάζης χεροφυρέα δαῖτα,
Καὶ σπονδὴν ὀλίγῃ κιρναμένην κύλικι,
Καὶ βραχυφεγγίτου λύχνου σέλας, ἐκ βιοφειδοῦς
Στύππης ἡμιμεθεῖ πινόμενον στόματι.
Ἀνθ' ὧν ἱλήκοις, ἐπὶ θ' ἱστία πέμψον ἀήτην
Οὔριον Ἀκτιακοὺς σύνδρομον εἰς λιμένας.

494. ΚΡΙΝΑΓΟΡΟΥ.

Σπήλυγγες Νυμφῶν εὐπίδακες, αἳ τόσον ὕδωρ
Λείβουσαι σκολιοῦ τοῦδε κατὰ * πρεόνος,
Πανός τ' ἠχήεσσα πιτυστέπτοιο καλιὴ,
Τὴν ὑπὸ Κριοσαίης ποσσὶ λέλογχε πέτρης,
Ἱερὰ δ' ἀγρεύτῃσι γερανδρύου ἀρκεύθοιο
Πρέμνα, λιθηλογέες θ' Ἑρμέω ἱδρύσιες,
Αὐταί θ' ἱλήκοιτε, καὶ εὐθήροιο δέχοισθε
Σωσάνδρου ταχινῆς σκῦλ' ἐλαφοσσοΐης.

* Vox inuſitat. πρέων, πρεόνος. Kuſteri Suid. T. 3. 217.

495. ΔΗΜΑΓΕΤΟΥ.

Ἄρτεμι, τόξα λαχοῦσα καὶ ἀλκήεντας ὀϊστοὺς,
Σοὶ πλόκον οἰκείας τόνδε λέλοιπε κόμης
Ἀρσινόη, θυόεν παρ' ἀνάκτορον, ἡ Πτολεμαίου
Παρθένος, ἱμερτοῦ κειραμένη πλοκάμου.

496. ΡΙΑΝΟΥ.

Παῖς Ἀσκληπιάδεω καλῷ καλὸν εἵσατο Φοίβῳ
Γόργος ἀφ' ἱμερτᾶς τοῦτο γέρας κεφαλᾶς.
Φοῖβε, σὺ δ' ἵλαος, Δελφίνιε, κοῦρον ἀέξοις
Εὔμοιρον λευκὴν ἄχρις ἐφ' ἡλικίην.

497. ΕΥΦΟΡΙΩΝΟΣ.

Πρώτας ὁππότ' ἔπεξε καλὰς Εὔδοξος ἐθείρας,
Φοίβῳ παιδείην ὤπασεν ἀγλαΐην.
Ἀντὶ δὲ τῆς πλοκαμῖδος, Ἑκηβόλε, κάλλος ἐπείη,
Ὥσπερ γῆθεν ἀεὶ κίσσος ἀεξόμενος.

498. ΑΔΗΛΟΝ.

Τιμαρέτα πρὸ γάμοιο τὰ τύμπανα, τήν τ' ἐρατεινὴν
Σφαῖραν, τόν τε κόμας ῥυτόρα κεκρύφαλον,

Τάς

Τάς τε κέρως λίμνας τε κόρας †, κόρα ὡς ἐπεικὲς,
    Ἄνθετο, καὶ τὰ κορᾶν ἐνδύματ᾽, Ἀρτέμιδι
Λητῴα. Σὺ δὲ παιδὸς ὕπερ χέρα Τιμαρετείας
    Θηκαμένα, σώζοις τὰν ὁσίαν ὁσίως.

499. ΛΕΩΝΙΔΟΥ.

Δίνδυμα καὶ Φρυγίης περικαέος ἀμφιπολεῦσαι
    Πρῶνας, τὴν μικρὴν, μῆτερ, Ἀριςοδίκην,
Κούρην Σειλήνης, παμποτνία, κείς ὑμέναιον,
    Κείς γάμον ἄβρύναις, πείρατα κουροσύνας,
Ἀνθ᾽ ὧν σοι καὶ πολλὰ προνήϊα καὶ παρὰ βωμῷ,
    Παρθενικὴν ἐτίναξ᾽ ἔνθα καὶ ἔνθα κόμην.

500. ΘΕΟΔΩΡΟΥ.

Σοὶ τὸν πιληθέντα δι᾽ εὐξάντου τριχὸς ἄμνου,
    Ἑρμᾶ, Καλλιτέλης ἐκρέμασεν πέτασον,
Καὶ δίβολον περόναν, καὶ ςλεγγίδα, καὶ τὸ τανυσθὲν
    Τόξον, καὶ τριβάκην γλοιοπότιν χλαμύδα,
Καὶ ῥίζας, καὶ σφαῖραν ἀειβόλον. Ἀλλά συ δέξαι
    Δῶρα Φιλευτάκτου, δαῖμον, ἐφημοσύνας. *

† Sc. fiſtulas ex arundinibus partim factas, lacubus natis.

* A Ludi gymnaſtici Magiſtro, dedicantur inſtrumenta Diſciplinæ gymnaſticæ.

501. ΑΔΗΛΟΝ.

Λάθρῃ κοιμηθεῖσα Φιλαίνιον εἰς Ἀγαμήδους
Κόλπους, τὴν φαιὴν εἰργάσατο χλανίδα,
Αὐτὴ Κύπρις ἔριθος· εὔκλωστον δ' ἡ γυναικῶν
Νῆμα καὶ ἠλακάτην ἀργὸς ἔχει τάλαρος.

502. ΛΕΩΝΙΔΟΥ.

Αἱ Λυκομήδους παῖδες Ἀθηνὼ καὶ Μελίτεια
Καὶ Φιντὼ, Γληνίς θ' αἱ φιλοεργόταται,
Ἔργων ἐκ δεκάτας ποτιθύμια τόν τε πρόσεργον
Ἄτρακτον, καὶ τὰν ἄτρια κριναμέναν
Κερκίδα, τὰν ἱστῶν μολπήιδα, καὶ τὰ τροχαῖα
Πανία, καὶ ῥίσκους τούσδε περιῤῥογέας,
Καὶ σπάθας ἐμβριθεῖς, ὀλιγάργυρα γ', ὡς δ' ἡ πενιχραὶ
Ἐξ ὀλίγων ὀλίγην μοῖραν ἀπαρχόμεθα.

503. ΤΟΥ ΑΥΤΟΥ.

Αὐτονόμα, Μελίτεια, Βοΐσκιον, αἱ Φιλολύνθεω
Καὶ Νικοῦς Κρῆσσαι τρεῖς, ξένε, θυγατέρες,

Ἁ μὲν

Ἁ μὲν τὸν μιτόεργον ἀειδίνητον ἄτρακτον,
  Ἁ δὲ τὸν ὀρφνίταν εἰροκόμον τάλαρον,
Ἁ δ' ἅμα τὰν πέπλων εὐάτριον ἐργάτιν, ἱστῶν
  Κερκίδα, τὰν λεχέων Πηνελόπης φύλακα,
Δῶρον Ἀθηναίῃ πανάπιδι, τῷδ' ἐνὶ νηῷ
  Θῆκαν, Ἀθηναίας παυόμεναι καμάτων.

504. ΜΥΡΙΝΟΥ.

Τὴν μαλακὴν Παφίης Στατύλλιον, ἀνδρόγυνον δρῦν,
  Ἕλκειν εἰς Ἀΐδην ἡνίκ' ἔμελλε χρόνος,
Τα'κ κόκκου βαφθέντα καὶ ὑσγίνοιο θέριστρα,
  Καὶ τοὺς ναρδολιπεῖς ἀλλοτρίους πλοκάμους,
Φαικάδα τ' εὐτάρσοισιν ἐπ' ἀστραγάλοισι γελῶσαν, *
  Καὶ τὰν τρυτοδόκην κοιτίδα παμβακίδων,
Αὐλοὺς θ' ἡδὺ πνέοντας ἑταιρείοις ἐνὶ κώμοις,
  Δῶρα Πριηπείων θῆκεν ἐπὶ προθύρων.

505. ΕΡΥΚΙΟΥ.

Τοῦτο Σάων τὸ δίπαχυ κόλον κέρας οὐμβρακιώτης
  Βουμολγὸς ταύρου κλάσεν ἀλιμαγέλου,

* —— Pulchra in pedibus Sycionia rident. Lucret. 4. 1119.

Ὁππότε

Ὁππότε μιν κνημοὺς τε κάτα λασίους τε χαράδρους,
Ἐξ ὀρέων ποταμοῦ φράσσατ' ἐπ' αἰόνι,
Ψυχόμενον χαλάς τε καὶ ἴξυας. Αὖταρ ὁ βούτεω
Ἀντίος ἐκποτέων ἴεθ'· ὁ δὲ ῥοπάλῳ
Γυρὸν ἀπεκράνιζε βοὸς κέρας. Ἐκ δέ μιν αὔτας
Ἀχράδος εὐμύκῳ θῆκε παρὰ κλισίᾳ.

506. ΑΝΤΙΦΙΛΟΥ.

Τίς με Διονύσῳ πεπλασμένον ἀμφιφορῆα,
Τίς με τὸν * Ἀδριανοῦ νέκταρος οἰνοδόχον
Δηοῦς ἐπλήρωσε; τίς ὁ φθόνος εἰς ἐμὲ Βάκχου;
Ἢ σπάνις οἰκείου τεύχεος ἀσταχύων
Ἀμφοτέρους ἤσχυνε· σεσύληται μὲν ὁ Βάκχος,
Δημήτηρ δὲ μέθην σύντροφον οὐ δέχεται.

507. ΑΔΑΙΟΥ.

Τὰν ὄϊν, ὦ Δάματερ ἐπόγμιε, τάν τ' ἀκέρωτον
Μόσχον, καὶ τροχιὰν ἐν κανέῳ φθοίδα,
Σοὶ ταύτας ἐφ' ἅλωος, ἐφ' ᾇ πολὺν ἔβρασεν ἄντλον
Κρίθων, καὶ λιπαρὰν εἶδε γεωμορίαν,

* Sc. Agri Campani.

Ἱρεύει,

Ἱρεύει, πολύσωρε. Σὺ δ' εἰς Κρίθωνος ἄρουραν
Πᾶν ἔτος εὔκριθον καὶ πολύπυρον ἄγοις.

508. ΚΡΙΝΑΓΟΡΟΥ.

Χάλκεον ἀργυρέῳ με πανείκελον Ἰνδικὸν ἔργον
Ὄλπην, ἡδίστου ξείνιον εἰς ἑτάρου,
Ἦμαρ ἐπεὶ τόδε σεῖο γενέθλιον, ἠὲ Σίμωνος,
Πέμπει γηθομένῃ σοὶ φρενὶ Κριναγόρης.

509. ΑΔΗΛΟΝ.

Τὸν νομίην καὶ ἔπαυλα βοῶν καὶ βώτορας ἄνδρας
Σινόμενον *, κλαγγάν τ' οὔτι τρέσαντα κυνῶν,
Εὐάλκης ὁ Κρὴς ἐπινύκτια μῆλα νομεύων
Πέφνε, καὶ ἐκ ταύτης ἐκρέμασεν πίτυος.

510. ΜΝΑΣΑΛΚΟΥ.

Ἀσπὶς Ἀλεξάνδρου τοῦ Φυλλέος ἱερὸν ἅδε
Δῶρον Ἀπόλλωνι χρυσοκόμῳ δέδομαι.
Γηραλέα μὲν ἴτυν πολέμων ὕπο, γηραλέα δὲ
Ὄμφαλον, ἀλλ' ἀρετᾷ λάμπομαι, ἇς ἔκιχον,

* Sc. Leonem.

Ἀνδρὶ κορυσσαμένα σὺν ἀριστέϊ, ὅς μ' ἀνέθηκεν.
Ἐμμὶ δ' ἀήσσατος πάμπαν ἀφ' οὗ γενόμαν.

511. ΝΟΣΣΙΔΟΣ.

Ἥρα τιμήεσσα, Λακίνιον ἣ τὸ θυῶδες
Πολλάκις οὐρανόθεν νισσομένα καθορῇς,
Δέξαι βύσσινον εἷμα, τό τοι μετὰ παιδὸς ἀγαυῆς
Νοσσίδος ὕφανεν Θευφίλη ἁ Κλεόχας.

512. ΗΓΗΣΙΠΠΟΥ.

Τάνδε παρὰ τριόδοις τὰν Ἄρτεμιν Ἀγελόχεια,
Ἔτ' ἐν πατρὸς μένουσα παρθένος δόμοις,
Ἕσσατο Δαμαρέτου θυγάτηρ. Ἐφάνη γάρ οἱ αὐτὰ
Ἱστοῦ παρὰ κρόκαισιν ὡς αὐγὰ πυρός.

513. ΔΙΟΤΙΜΟΥ.

Φωσφόρος ὦ σώτειρ' ἐπὶ Πόλλιδος ἵσταθι κλῆρον,
Ἄρτεμι, καὶ χαρίεν φῶς ἐὸν ἀνδρὶ δίδου
Αὐτῷ καὶ γενεῇ τε πόρ' εὔμαρες. Οὐ γὰρ ἀφαυρῶς
Ἐκ Διὸς εὐθείης οἶδε τάλαντα δίκης.

Ἄλσος δ᾽, Ἄρτεμι, τοῦτο κάτα χαρίτεσσι θεοῦσαις
Εἴη ἐπ᾽ ἀνθεμίδων σύμβολα κοῦφα βαλεῖν.

514. ΜΝΑΣΑΛΚΟΥ.

Τοῦτό σοι, Ἄρτεμι δῖα, Κλεώνυμος εἷσατ᾽ ἄγαλμα,
Πότνα, σὺ δ᾽ εὔθηρον τοῦδ᾽ ὕπερ ἴσχε βίον,
Ἥ γε κατ᾽ εἰνοσίφυλλον ὄρος ποσὶ, πότνια, βαίνεις
Δεινὸν μαιμώσαις ἐγκλονέουσα κυσίν.

515. Ὡς ΣΑΠΦΟΥΣ.

Παιδὴ ἄφωνος ἐοῦσα γέ τοι ᾽ννέπω, ἄν τις ἔρηται,
† Φωνὰν ἀκοιμάταν κατθεμένα πρὸ ποδῶν.
Αἰθοπίᾳ με κόρᾳ Λατοῦς ἀνέθηκεν Ἀριςὼ
Ἑρμοκλύτοιο, κάτω ὃς παρὰ νῦν ἀΐδᾳ,
Σὸς πρόπολος, δέσποινα γυναίκων. Ἇι σὺ χαρεῖσα
Πρόφρων ἀμετέραν εὐκλέϊσον γενεάν.

516. ΝΙΚΙΟΥ.

Ἀμφαράτεας κρήδεμνα καὶ ὑδατόεσσα καλύπτρη,
Εἰλειθυῖα, τεᾶς κεῖται ὑπὲρ κεφαλῆς.

† Inſcriptionem ánte pedes in Baſi Statuæ poſitam.

Ὧν σε μέτ' εὐχωλαῖς ἐκαλέσατο λευγαλέας οἱ
Κῆρας ἀπ' ὠδίνων τῆλε βαλεῖν λοχίων.

517. ΦΑΙΔΙΜΟΥ.

Ἄρτεμι, σοὶ τὰ πέδιλα Κιχησίου εἵσατο υἱὸς
Καὶ πέπλων ὀλίγον πλύγμα Θεμιστοδίκη,
Οὕνεκά οἱ πρηεῖα λεχοῖ διστὰς ὑπερέσχες
Χεῖρας ἄτερ τόξου, πότνια, νισσομένη.
Ἄρτεμι, νηπίαχον δὲ καὶ εἰς ἔτι παῖδα Λέοντος
Νεῦσον ἰδεῖν κοῦρον ἠδ' ἀεξόμενον.

518. ΑΔΗΛΟΝ.

Ζῶμά τοι, ὦ Λατοῖ, καὶ ἀνθεμόεντα * κύπασσιν,
Καὶ μίτραν μαστοῖς σφιγκτὰ περιπλομέναν,
Θήκατο Τιμήεσσα δυσωδίνοιο γενέθλας
Ἀργαλέον δεκάτῳ μηνὶ φυγοῦσα βάρος.

519. Ὡς ΝΟΣΣΙΔΟΣ.

Ἄρτεμι Δᾶλον ἔχουσα καὶ Ὀρτυγίαν ἐρόεσσαν,
Τόξα μὲν εἰς κόλπους ἁγν' ἀπόθου Χαρίτων,

* Vid. inf. 555.

Λοῦσαι

Λοῦσαι δ' Ἰνωπῷ καθαρὸν χρόα, βᾶθι δ' ἐς οἴκους
Λύσουσ' ὠδίνων Ἀλκέτιν ἐκ χαλεπῶν.

520. ΠΕΡΣΟΥ.

Πότνια κουροσόα, ταύταν ἑλικώπιδα νύμφαν,
Καὶ στεφάναν λιπαρῶν ἐκ κεφαλᾶς πλοκάμων,
Ὄλβια Εἰλειθυῖα, πολυμνάστοιο φύλασσε
Τισίδος ὠδίνων ῥύσια δεξαμένα.

521. ΝΟΣΣΙΔΟΣ.

Χαίροισάν τοι ἔοικε κομᾶν ἄπο, τὰν Ἀφροδίταν,
Ἄνθεμα κεκρύφαλον τόνδε λαβεῖν Σαμύθας.
Δαιδαλέος τε γάρ ἐστι, καὶ ἁδύ τι νέκταρος ὄζει
Τοῦ, τῷ καὶ τήνα καλὸν Ἄδωνα χρίει.

522. ΑΝΤΙΠΑΤΡΟΥ.

Ἡ πολύθριξ οὔλας ἀνεδήσατο παρθένος Ἵππη
Χαίτας, εὐώδη σμηχομένα κρόταφον.
Ἤδη γάρ οἱ ἐπῆλθε γάμου τέλος, αἱ δ' ἐπὶ κούρῃ
Μίτραι παρθενίας αἰνέομεν χάριτας.

523. ΔΙΟΣ-

523. ΔΙΟΣΚΟΡΙΔΟΥ.

Ῥιπίδα τὴν μαλακοῖσιν ἀεὶ πρηεῖαν ἀήταις
  Παρμενὶς ἡδίστη θῆκε παρ' Οὐρανίῃ *
Ἐξ εὐχῆς δεκάτευμα. Τὸ δ' ἠελιξ βαρὺ θάλπος
  Ἐκ ταύτης μαλακοῖς ἐκτρέπεται ζεφύροις.

524. ‡

525. ΛΕΩΝΙΔΟΥ. †

Ὁ σκήπων καὶ ταῦτα τὰ βλαῦτια, πότνια Κύπρι,
  Ἄγκειται, κυνικοῦ σκῦλα Ποσωχάρεος,
Ὄλπη τε ῥιπόεσσα, πολυτρήτοιο δὲ πήρας
  Λείψανον ἀρχαίης πληθόμενον σοφίης.
Σοὶ δὲ Ῥόδων ὁ καλὸς, τὸν πάνσοφον ἡνίκα πρέσβυν
  Ἤγρευσεν, στρεπτοῖς θῆκατ' ἐπὶ προθύροις.

526. ΦΑΝΙΟΥ.

Σκήπωνα προποδαγὸν, ἱμάντα τε, καὶ πυρόκαυτον
  Νάρθηκα, κροτάφων πλάκτορα νηπιάχων,

* Sc. Cœleſti Veneri.
† Vid. inf. 530.
‡ Extat Antholog. Steph. p. 160.

Κίρκον

Κίρκον τ᾽ εὐρυόπαν φιλοκαμπέα, ϗ μονόπελμον
Συκχίδα, ϛ᾽ ςεγάναν κρατὸς ἐρημοκόμȣ,
Κάλλων Ἑρμείᾳ θέτ᾽ ἀνάκτορι, σύμβολ᾽ ἀγαγᾶς
Παιδείας, πολιῷ γυῖα δεθεὶς καμάτῳ.

527. ΤΟΥ ΑΥΤΟΥ.

Σμῖλαν Ἀκεςώνδας δονακογλύφον, ὄντ᾽ ἐπὶ μισθῷ
Σπόγγον ἔχεν καλάμων ψαίςορ᾽ ἄπο Κνιδίων,
Καὶ σελίδων κανόνισμα φιλόρθιον, ἔργμα τελείας
Σαμοθέτῳ καὶ τὰν ἐμμελανοβροχίδα,
Κάρκινα τε σπειρȣ̃χα, λεάντειράν τε κίσηριν,
Καὶ τὰν ἀδυφαῆ πλινθίδα καλλαΐναν,
Μάζας ἀνίκ᾽ ἔκυρσε τελωνιάδος φιλολίχνȣ,
Πιερίσιν πενίας ἄρμεν᾽ ἀνεκρέμασεν.

528. ΛΕΩΝΙΔΟΥ.

Ἀσεμφῆ ποδάγρην, ϗ δȣ́νακας ἀνθεκτῆρας,
Καὶ λίνα, ϗ γυρὸν τȣ̃το λαγωβόλιον,
Ἰσδόκην, καὶ τȣ̃τον ἐπ᾽ ὄρτυγι τετρανθέντα
Αὐλὸν, ϗ πλωτῶν εὔπλεκες ἀμφίβολον,
Ἑρμείῃ Σώσιππος, ἐπεὶ παρενήξατο τὸ πλεῦν
Ἥβης, ἐκ γήρως δ᾽ ἀδρανίῃ δέδεται.

529. ΦΑ-

529. ΦΑΝΙΟΥ.

Ἄλκιμος ἀγρεῖφναν κενοδοντίδα, καὶ φιλόδουπον
Φάρσος * ἅμα, στελεοῦ χηρὸν ἐλαϊνέου,
Ἀρθροπέδαν σειράν τε, καὶ ὠλεσίβωλον ἀρούρης
Σφῦραν, καὶ δαπέδων μουνόρυχα στόνυχα,
Καὶ κτένας ἑλκυστῆρας, ἀνὰ προπύλαιον Ἀθανᾶς
Θήκατο, καὶ ῥαπτὰς γειοφόρους σκαφίδας,
Θησαυρῶν ὅτ' ἔκυρσεν, ἐπεὶ τάχ' ἂν ἁ πολυκαμπὴς
Ἰξὺς κ' εἰς ἀΐδαν ᾤχετο κυφαλέα.

530. ΛΕΩΝΙΔΟΥ. ‡

Πήρην, κ' ἀδέψητον, ἀπεσκληρυμμένον αἰγὸς
Στέρφος, καὶ βάκτρον τοῦτο τὸ λειπόερνον,
Κ' ὄλπαν ἀστλέγγιστον, ἀχάλκωτόν τε κιωοῦχον,
Καὶ πῖλον κεφαλᾶς οὐχ ὁσίας σκέπανον.
Ταῦτα καταφθιμένοιο μυρικίνεον περὶ θάμνον
Σκῦλα Ποσωχάρεος λιμὸς ἀπεκρέμασεν.

* Ligneum flagellum triturandis frugibus.

‡ Conf. Car. 525. ſup.

531. ΦΑΝΙΟΥ.

Ταῤῥός σοι πεπανοῦ ὅδε βότρυος, εἰνόδι' Ἑρμᾶ,
Καὶ τρύφος ἰπνευτὸν πιαλέου φθόϊος
Πάρκειται, σῦκόν τε μελαντραγὲς, ἅ τ' ἐφιουλκὶς
Δρύππα, καὶ τυροῦ δρύψια κυκλιάδων,
Ἀκτά τε κελθαῖς, εὐτελέος τε ῥοίσκου
Θωμὸς, καὶ Βάκχου πῶμ' ἐπιδορπίδιον·
Τοῖσιν ἅδοι καὶ Κύπρις, ἐμὰ θεός· ὕμμι δὲ ῥέζειν
Φημὶ παρὰ κροκάλαις αἰγιπόδαν χίμαρον.

532. ΛΕΩΝΙΔΟΥ.

† Λαθρίη ἐκ πλάνης ταύτην χάριν ἔκ τε πενέστεω
Κὴξ ὀλιγησιπύου δέξο Λεωνίδεω
Ψαιστά τε πιήεντα, καὶ εὐθήσαυρον ἐλαίαν,
Καὶ τοῦτο χλωρὸν σῦκον ἀποκρίδιον,
Κ' εὐοίνου σταφυλῆς ἔχ' ἀπασπάδα πεντάῤῥωγον,
Ποτνία, καὶ σπονδὴν τήνδ' ὑποπυθμίδιον.
Ἦν δέ με χ', ὡς ἐκ νούσου ἀνειρύσω, ὧδε καὶ ἐχθρῶν
Κ' ἐκ πενίης ῥύσῃ, δέξο χιμαιροθύτην.

† Dea Latibula.

533. *

534. ΛΕΩΝΙΔΟΥ.

Λαβροσιώᾳ τάδε δῶρα Φιλευχείλῳ τε Λαφυγμῷ
Θήκατο Λεισόζου Δωρέιος κεφαλὰ.
Τὼς Λαριοσαίως εὐγάστορας ἐψητῆρας,
Καὶ χύτρας, καὶ τὰν εὐρυχαδῆ κύλικα,
Καὶ τὰν εὐχάλκωτον ἐΰγναμπτόν τε κρεάγραν,
Καὶ κνῆστιν, καὶ τὰν ἐτνοδόκον τορύναν.
Λαβροσύνα, σὺ δὲ ταῦτα κακοῦ κακὰ δωρητῆρος
Δεξαμένα, νεύσαις μὴ πόκα σωφροσύναν.

535. ΦΑΝΙΟΥ.

Εὐγαθὴς Λαπιθανὸς ἐσοπτρίδα, καὶ φιλέθειρον
Σίνδονα, καὶ πετασὸν φᾶρος ὑποξύριον,
Καὶ ψῆκτραν δονακῖτιν ἀπέπτυσε, καὶ λιποκόπτους
Φασγανίδας, καὶ τοὺς συλονύχας στόνυχας.
Ἔπτυσε δ' εὐσπελέα ξυρὰ καὶ θρόνον, εἰς δ' Ἐπικούρου
Κουρεῖον προλιπὼν, ἅλατο κηπολόγου.

* Callimachi eſt, & extat.

Ἔνθα

Ενθα λύρας ἤκȣσεν ὅπως ὄνος. Ὤλετο δ' ἄν πȣ

Λιμώϛων, εἰ μὴ ϛέρξε παλινδρομίην.

538. ΒΑΚΧΥΛΙΔΟΥ.

Κȣ́ρα Πάλλαντος πολυώνυμε, πότνια Νίκη,

Πρόφρων Κραναίων ἱμερόεντα χορὸν

Αἰὲν ἐποπ]εύοις, πολέας δ' ἐν ἀθύρματι Μȣσᾶν

Κηόρῳ ἀμφιτίθει Βακχυλίδῃ ϛεφάνȣς.

539. ΑΙΣΧΙΝΟΥ τȣ̃ ῥήτορος.

Θνητῶν μὲν τέχναις ἀπορȣ́μενος, εἰς δὲ τὸ θεῖον

Ἐλπίδα πᾶσαν ἔχων, προλιπὼν εὔπαιδας Ἀθήνας,

Ἰάθην ἐλθὼν, Ασκλήπιε, πρὸς τὸ σὸν ἄλσος,

Ἕλκος ἔχων κεφαλῆς ἐνιαύσιον, ἐν τρισὶ μησὶ.

540. ΑΔΡΙΑΝΟΥ,

Ἐν τοῖς ἀναθήμασι Τραιανȣ̃ Καίσαρος.

Ζηνὶ τόδ' Αἰνεάδης † Κασίῳ Τραιανὸς ἄγαλμα,

Κοίρανος ἀνθρώπων κοιράνῳ αθανάτων,

† In Monte Caſio, Antiochiæ vicino, quondam culto.

Ἄνθετο· δοιὰ λινᾶ πολυδαίδαλα, καὶ βοὸς οὔρου
  Ἀσκητὸν χρυσῷ παμφανόωντι κέρας,
Ἔξαιτα προτέρης ἀπὸ ληΐδος, ἦμος ἀτειρὴς
  Πέρσεν ὑπερθύμους ᾧ ὑπὸ δουρὶ Γέτας.
Ἀλλὰ σύ οἱ καὶ τήνδε, κελαινεφὲς, ἐγγυάλιξον
  Κρῆναι εὐκλειῶς δῆριν Ἀχαιμενίην,
Ὄφρα τοι εἰσορόωντι διάνδιχα θυμὸν ἰαίνῃ
  Δοιὰ, τὰ μὲν Γετέων σκῦλα, τὰ δ' Ἀρσακιδῶν.

541. ΑΔΗΛΟΝ.

* Καυσίη ἡ τὸ πάροιθε Μακηδόσιν εὔκολον ὅπλον,
  Καὶ σκέπας ἐν νιφετῷ, καὶ κόρυς ἐν πολέμῳ,
Ἱδρῶ διψήσασα πιεῖν τεὸν, ἄλκιμε Πείσων,
  Ἠμαθὶς Αὐσονίους ἦλθον ἐπὶ κροτάφους.
Ἀλλὰ φίλος δέξαι με. Τάχα κρόκες αἵ ποτε Πέρσας
  Τρεψάμεναι καὶ σοὶ Θρᾶκας ὑπαξόμεθα.

542. ΚΡΙΝΑΓΟΡΟΥ.

Εἴαρος ἤνθει μὲν τὸ πρὶν ῥόδα, νῦν δ' ἐνὶ μέσσῳ
  Χείματι πορφυρέας ἐσχάσαμεν κάλυκας.

* Genus quoddam Pilei, ſive Galea Macedonica.

Σοὶ ἐπιμειδήσαντα γενεθλίῃ ἄσμενα τῇδε
Ἠοῖ νυμφιδίων ἀοσσητήρ λεχέων.
Καλλίστης στεφθῆναι ἐπὶ κροτάφοισι γυναικὸς
Λώϊον ἢ μίμνειν ἠέλιον ἠέλιον.

543. ΑΝΑΚΡΕΟΝΤΟΣ.

Τελλίᾳ ἱμερόεντα βίον πόρε Μαιάδος υἱὲ,
Ἀντ' ἐρατῶν δώρων τῶνδε χάριν θέμενος.
Δὸς δέ μιν εὐθυδίκων Εὐωνυμέων ἐνὶ δήμῳ
Ναίειν αἰῶνος μοῖραν ἔχοντ' ἀγαθήν.

544.*

545. ΔΙΟΔΩΡΟΥ.

Αἴλινον ὠκυμόρῳ με λεχωΐδι τοῦτο κεκόφθαι
Τῆς Διοδωρείου γράμμα λέγει σοφίης.
Κοῦρον ἐπεὶ τίκτουσα κατέφθιτο. Παῖδα δὲ Μήλου
Δεξάμενος θαλερὴν κλαῖεν Ἀθηναΐδα,
Λεσβιάδεσσιν ἄχος, καὶ Ἰήσονι πατρὶ λιποῦσαν.
Ἄρτεμι, σοὶ δὲ κυνῶν θηροφόνων ἔμελεν.

* Callimachi eſt, & extat.

547. ΦΙΛΟ-

546. ΦΙΛΟΔΗΜΟΥ.

Ἰνοῦς ὦ Μελίκερτα, σύ τε γλαυκοῦ μεδέουσα
  Λευκοθέη πόντου, δαῖμον ἀλεξίκακε,
Νηρηΐδων νε χοροὶ, ϗ κύματα, καὶ σὺ, Ποσειδὸν,
  Καὶ Θρήϊξ, ἀνέμων πρηΰτατε, Ζέφυρε,
Ἱλαοί με φέροιτε διὰ πλατὺ κῦμα φυγόντα,
  Ζῶον ἐπὶ γλυκερὰν ἠόνα Πειραέως.

547. ΚΡΙΝΑΓΟΡΟΥ.

† Τυρσηνῆς κελάδημα διαπρύσιον σάλπιγγος
  Πολλάκι Πισαίων στρηνὲς ὑπὲρ πεδίων
Φθεγξαμένης ὁ πρὶν μὲν ἔχει χρόνος ἐν δυσὶ νίκαις.
  Εἰ δέ συ ϗ τρισσοῖς ἤγαλες ἐν στεφάνοις
Ἀστὸς Μίλητον, Δημόσθενες, οὔποτε κώδων
  Χάλκεος ἤχησεν πλειοτέρῳ στόματι.

549. ΗΡΙΝΝΗΣ.

Δέξο καλᾶν χειρῶν τάδε γράμματα, λῷστε Προμηθεῦ.
  Ἐντὶ ϗ ἀνθρώπων τὶν ὁμαλοὶ σοφίην.

† Multos bis Olympionicas vidit ætas ſuperior: Te igitur ſi videret hæc ætas tertio victorem, præſtares Olympionicis omnibus.

Ταύταν

Ταύταν γοῦν ἐτύμως τὰν παρθένον ὅϛις ἔγραψεν,
Αἰκ᾽ αὐδὰν ποτέθηκ᾽, ἦς ᾽Αγαθαρχὶς ὅλα.

550. ΝΟΣΣΙΔΟΣ.

Αὐτομέλιννα τέτυκται. ᾽Ιδ᾽ ὡς ἀγανὸν τὸ πρόσωπον
Ὧι με ποτοπτάζειν μειλιχίως δοκέει.
Ὡς ἐτύμως θυγάτηρ τᾷ ματέρι πάντα προσῴκει·
Ἦ καλὸν ὄκκα πέλει τέκνα γονεῦσιν ἴσα.

551. ΤΗΣ ΑΥΤΗΣ.

Γνωτὰ ϗ τηνῶθε Σαμύθιδος εἰδότι παντὶ
Ἁδ᾽ εἰκὼν μορφᾷ ϗ μεγαλειοσύνᾳ.
Θάεο τὰν πινυτάν. Τὸ δὲ μείλιχον αὐτόθι τήνας
Σ᾽ ἔλπομ᾽ ὁρᾷν. Χαίροις πολλὰ, μάκαιρα γυνή.

552. ΛΕΩΝΙΔΑ.

Ἁ μάτηρ ζῷον τὸν Μίκυθον, οἷα πενιχρὰ,
Βάκχῳ δωρεῖται, ῥωπικὰ γραψαμένα.
Βάκχε, σὺ δ᾽ ὑψώσῃς τὸν Μίκυθον. Εἰ δὲ τὸ δῶρον
Ῥωπικὸν, ἁ λιτὰ ταῦτα φέρει πενία.

553. ΠΑΓΚΡΑΤΟΥΣ.

Κλειοῦς αἱ δύο παῖδες, Ἀριστοδίκη καὶ Ἀμεινὼ,
  Κρῆσσαι, πότνια σῆς, Ἄρτεμι, νειοκόρης
Τετραετεῖς ἀπὸ μητρὸς *. Ἴδοις, ὦ Ἄνασσα, τὰ τῆσδε
  Εὔτεκνα, κ' ἀντὶ μιῆς θὲς δύο νειοκόρης.

554. ΑΔΗΛΟΝ.

Ὄλβια τέκνα γένοισθε, τίνος γένος ἐστέ; τί δ' ὑμῖν
  Ὧδε καλοῖς χάριεν κείμενον ἐστ' ὄνομα;
Νικάνωρ ἐγὼ εἰμί. Πατὴρ δ' ἐμοὶ Αἰπιόρητος,
  Ματὴρ δ' Ἡγησὼ, κ' εἰμὶ γένος Μακέδων.
Καὶ μὲν ἐγὼ Φίλα εἰμὶ, καὶ ἐστί μοι οὗτος ἀδελφὸς,
  Ἐκ δ' εὐχῆς τοκέων ἔσσαμες ἀμφότεροι.

555. ΑΔΗΛΟΝ.

Χαῖρέ μοι, † ἁβρὲ κύπασσι, τὸν Ὀμφάλη ἥ ποτε Λυδὴ,
  Λυσαμένη φιλότητ' ἦλθεν ἐς Ἡρακλέους.
Ὄλβιος ἦσθα, κύπασσι, καὶ ὡς τότε, καὶ πάλιν ὡς νῦν
  Χρυσέον Ἀρτέμιδος τοῦτ' ἐπέβης μέλαθρον.

* Sc. conſecratæ ſunt.

† Genus Veſtitus muliebris & mollis. Habes ſupr. v. 518.

ΕΠΙΤΥΜ-

ΕΠΙΤΥΜΒΙΔΙΑ.

556. Εἰς Σαπφώ.

ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

ΣΑΠΦΩ τοι κεύθεις, χθὼν Αἰολὶ, τὴν μέτα μούσας
'Αθανάτους θνατὰν μοῦσαν ἀειδομέναν,
Ἂν Κύπρις καὶ Ἔρως σύναμ' ἔτρεφον, ἧς μέτα Πειθὼ
Ἔπλεκ' ἀείζωον Πιερίδων στέφανον,
Ἑλλάδι μὲν τέρψιν, σοὶ δὲ κλέος. Ὦ τριέλικτον
Μοῖραι δινεῦσαι νῆμα κατ' ἠλακάτας,
Πῶς οὐκ ἐκλώσασθε πανάφθιτον ἦμαρ ἀοιδῷ
Ἄφθιτα μησαμένᾳ δῶρ' Ἑλικωνιάσι;

557. Εἰς Ἀνακρέοντα.

ΔΙΟΣΚΟΡΙΔΟΥ.

Σμερδίεω ὅτι Θρηκὶ τακεὶς καὶ ἐπ' ἔσχατον ὀστεῦν,
Κώμου καὶ πάσης κοίρανε πανδοκίης,

Τερπνότατε Μούσῃσιν Ἀνάκρεον, ὦ 'πὶ Βαθύλλῳ
  Χλωρὸν ἐπὶ κυλίκων πολλάκι δάκρυ χέας,
Αὐτομάταί σοι κρῆναι ἀναβλύζοιεν ἄκρητον,
  Κ'ἠκ μακάρων προχοαὶ νέκταρος ἀμβροσίην·
Αὐτόματοι δὲ φέροιεν ἴον, τὸ φιλέσπερον ἄνθος,
  Κῆποι καὶ μαλακῇ μύρτα τραφέντα δρόσῳ,
Ὄφρα καὶ * ἐν Δηοῦς οἰνωμένος ἁβρὰ χορεύσῃς,
  Βεβληκὼς χρυσέην χεῖρας ἐπ' Εὐρυπύλην.

558. Εἰς Εὐριπίδην.

ΘΟΥΚΥΔΙΔΟΥ τοῦ ἱστορικοῦ. †

Δαιδαλέοισι πυρὸς σάρκες ῥιπαῖσι τρυφηλαὶ
  Ληφθεῖσαι νοτίην ὦσαν ἀπ' αἰθομέναι,
Μοῦνα δ' ἔνεστι τάφῳ πολυδακρύτῳ ὀστέα κωφὰ,
  Καὶ πόνος εἰνοδίοις τῇδε παρερχομένοις.

* Sc. apud Plutonem, Generum Cereris.

† Recentiſſimi Græculi eſt.

559. Εἰς Σιμωνίδην.

ΣΙΜΑΙΘΟΥ.

‡ Οὗτος ὁ τοῦ Κείοιο Σιμονίδου ἐστὶ σαωτὴρ,
Ὧι καὶ τεθνηὼς ζῶντ᾽ ἀπέδωκε χάριν.

560. Εἰς Ἡράκλειτον.

ΜΕΛΕΑΓΡΟΥ.

Ὤνθρωφ᾽, Ἡράκλειτος ἐγὼ σοφὰ μοῦνος ἐφευρεῖν
Φαμὶ τάδ᾽ ἐς πάτραν, κρέσσονα καὶ σοφίης.
Κλὰξ γὰρ καινοτόμων ἀστῶν, ξένε, δύσφρονας ἄνδρας
Ὑλάκτευν, λαμπρὰ θρεψαμένοισι χάρις.
Οὐκ ἀπ᾽ ἐμεῦ; μὴ πρόχες. Ἐπεὶ τάχα καὶ σύ τι πεύσῃ
Τρηχύτερον πάτρας. Χαῖρε σὺ δ᾽ ἐξ Ἐφέσου.

561. Εἰς Ἐπίχαρμον.

Δωρίδος ἐκ μούσης κεκορυθμένον ἀνέρα Βάκχῳ
Καὶ Σατύροις Σικελὸν τῇδ᾽ Ἐπίχαρμον ἔχω. *

† 562. 563. 564. 565. 566.

‡ Vid. Antholog. Wechel. pag. 301. Et Val. Max. L. 1.7. qui reſpexiſſe videtur hoc ipſum Carmen.

* Sc. Baſis Statuæ.

† Extant apud Diog. Laert. Edit. Wetſt. pag. 39. 76. 88.

567. Εἰς Νέστορα.

Ἡδυεπὴς Νέστωρ Πύλιος Νηλήϊος ἥρως,
Ἐν Πύλῳ ἠγαθέῃ τύμβον ἔχει τριγέρων.

568. Εἰς Μάρκελλον τὸν Σιδίτην. Οὗτος μ̄ βίβλους ἔγραψεν ἐν ἔπεσιν ἡρωϊκοῖς.

Μαρκέλλου τόδε σῆμα περικλύτου ἰητῆρος,
Φωτὸς κυδίστοιο τετιμένου ἀθανάτοισι,
Οὗ βίβλους ἀνέθηκεν ἐϋκτιμένῃ ἐνὶ Ῥώμῃ
Ἀδριανὸς προτέρων προφερέστερος ἡγεμονήων,
Καὶ παῖς Ἀδριανοῖο μέγ' ἔξοχος Ἀντωνεῖνος,
Ὄφρα καὶ ἐσσομένοισι μετ' ἀνδράσι κῦδος ἄροιτο
Οὕνεκεν εὐεπίης, τήν οἱ πόρε Φοῖβος Ἀπόλλων,
Ἡρῴῳ μέλψαντι μέτρῳ θεραπήϊα νούσων,
Βίβλοις ἐν πινυταῖς χειρωνίσι τεσσαράκοντα.

569. Εἰς Πρηξὼ τὴν Σαμίαν.

ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Φράζε, γυνὴ, γενεὴν, ὄνομα, χθόνα; Καλλιτέλης μὲν
Ὁ σπείρας, Πρηξὼ δ' οὔνομα, γῆ δὲ Σάμος.

Σᾶμα δὲ τὶς τόδ᾽ ἔχωσε; Θεόκριτος ὁ πρὶν ἄθικτα
Ἁμετέρας λύσας ἅμματα παρθενίας.
Πῶς δ᾽ ἔθανες; Λοχίοισιν ἐν ἄλγεσιν. Εἰπὲ δὲ ποίην
Ἦλθες ἐς ἡλικίην; Δισσάκις ἑνδεκέτις.
Ἦ καὶ ἄπαις; Οὐ ξεῖνε. Λέλοιπα γὰρ ἐν νεότητι
Καλλιτέλη τριετῆ παῖδ᾽ ἔτι νηπίαχον.
Ἔλθοι ἐς ὀλβίστην ἱερὴν τρίχα. Καὶ σὸν, ὁδῖτα,
Οὔριον ἰθύνοι πάντα τύχη βιοτόν.

570. *

571. ΑΝΔΡΟΝΙΚΟΥ.

Εἰς Δαμοκράτειαν.

Οἰκτρὰ δὴ δνοφερὸν δόμον ἤλυθες εἰς Ἀχέροντος,
Δαμοκράτεια, φίλᾳ ματρὶ λιποῦσα γόους.
Ἁ δή σέθεν φθιμένας πολιοὺς νεοθῆγι σιδήρῳ
Κείρατο γηραλέας ἐκ κεφαλῆς πλοκάμους.

* Quod ſuperiori perſimile, & a Leichio edit. Carm. Sep. p. 20. N. 15. ſubſecandum duximus.

572. ΜΝΑ-

572. ΜΝΑΣΑΛΚΟΥ.

Εἰς Ἀκρίδα Δημοκρίτου.

Ἀκρίδα Δημοκρίτου μελεσίπτερον ἅδε θανοῦσαν
Ἀργίλος δολιχὰν ἀμφὶ κέλευθον ἔχει.
Ἃς καὶ, ὅτ' ἰθύσειε πανέσπερον ὕμνον ἀείδειν,
Πᾶν μέλαθρον μολπᾶς ἴαχ' ὑπ' εὐκελάδου.

573. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Ἀκρίδι καὶ τέττιγι Μυρὼ τόδε θήκατο σῆμα,
Λιτὴν ἀμφοτέροις ἀμφιβαλοῦσα κόνιν
Ἵμερα δακρύσασα πυρῆς ἔπι. Τὸν γὰρ ἀοιδὸν
Ἅδης, τὴν δ' ἑτέρην ἥρπασε Περσεφόνη.

574. ΑΡΧΙΟΥ.

Εἰς δελφῖνα ἐκβρασθέντα ἐκ θαλάσσης ἐν τῇ χέρσῳ.

Οὐκέτι παφλάζοντα διοίσσων βυθὸν ἅλμης,
Δελφὶς, πλοιήσεις εἰναλίων ἀγέλας,
Οὐδὲ πρὸς εὐτρήτοιο μέλος καλάμοιο χορεύων
Ὑγρὸν ἀναρρίψεις ἅλμα παρὰ σκαφίσι.

Ἦ γὰρ

Ἦ γὰρ ἴσον πρηῶνι Μαλέης, ὡς ἐκυκήθη,
Κῦμα πολυψάλμου σ᾽ ὦσεν ἐπὶ ψαμάθου,
Οὐδὲ σύ γ᾽ ἄφρηστε Νηρηΐδας, ὡς πρὶν, ἀείρων
Νώτοις πορθμεύσεις Τηθύος ἐς πέρατα.

575. ΑΝΥΤΗΣ.

Τῆς μελοποιοῦ εἰς τὸν αὐτόν.

Οὐκέτι δ᾽ ἡ πλωτοῖσιν ἀγαλλόμενος πελάγεσσιν
Αὐχέν᾽ ἀναρρίψω βυσσόθεν ὀρνύμενος.
Οὐδὲ παρ᾽ εὐσκάλμοιο νεὼς περικαλλέα χεῖλη
Ποιφύξω τὰμᾶ τερπόμενος προτομᾷ.
Ἀλλά με πορφυρέα πόντου νοτὶς ὦσ᾽ ἐπὶ χερσὸν,
Κεῖμαι δὲ ῥαδινὰν τάνδε παρ᾽ ἠϊόνα.

576. *

577. ΕΡΥΚΙΟΥ ΚΥΖΙΚΗΝΟΥ.

Αὐδήσεις τὸ γράμμα τί; Σᾶμά γε. Καὶ τίς ὑπ᾽ αὐτῷ;
Γλεύκης εἰμὶ τάφος τῆς ὀνομαζομένης.

* Extat Antholog. Steph. pag. 206.

578. ΗΓΗΣΙΠ-

578. ΗΓΗΣΙΠΠΟΥ.

Εἰς ναυηγὸν, ὃν οἱ ἁλιεῖς ἔθαψαν.

Ἐξ ἁλὸς ἡμίβρωτον ἀνηνέγκαντο σαγηνεῖς
Ἄνδρα, πολύκλαυτον ναυτιλίης σκύβαλον.
Κέρδεα δ᾽ οὐκ ἐδίωξαν, ἃ μὴ θέμις, ἀλλὰ σὺν αὐτοῖς
Ἰχθύσι τῇ δ᾽ ὀλίγῃ θῆκαν ὑπὸ ψαμάθῳ.
Ὦ χθὼν, τὸν ναυηγὸν ἔχεις ὅλον. Ἀντί γε λοιπῆς
Σαρκὸς τοὺς σαρκῶν γευσαμένους ἐπέχεις.

579. *

580. ΘΕΩΝΟΣ ΑΛΕΞΑΝΔΡΕΩΣ.

Εἰς Λήναιον ναυηγὸν.

Ἀλκυόσιν, Λήναιε, μέλεις τάχα, κωφὰ δ᾽ ἡ μήτηρ
Μύρεθ᾽ ὑπὲρ κρυεροῦ μυρομένη σε τάφου.

581. †

582. ΝΙΚΟΜΑΧΟΥ.

Ἅδ᾽ ἐσθ᾽, ἅδ᾽ Ἐλάτεια. Τίν᾽ οὖν λέγω; ἄν ποτε σεισμὸς
Ἐλθὼν ἐξαπίνας κάββαλε πασσυδίῃ.

* Extat inter Callimachea. † Multoties editum rejecimus.

Λείφθη

Λεῖφθη δ' αὖ μοῦνον τυτθὸν γένος. Οἱ δὲ θανόντες
Σᾶμ' ἐρατὰν πάτραν κείμεθ' ἐφεσσάμενοι.

583. Εἰς Ἀβρότονον μητέρα Θεμιστοκλέους.

ΑΔΗΛΟΝ.

Ἀβρότονον Θρήισσα γυνὴ πέλον. Ἀλλὰ τεκέσθαι
Τὸν μέγαν Ἕλλησι φημὶ Θεμιστοκλέα.

584. *

585. Εἰς γυναῖκα σώφρονα καὶ μόνανδρον.

Τύμβον ἐμοὶ τοῦτον γαμέτης δωρήσατο, φρουρῆς
Ἄξιον ἡμετέρης εὐσεβίης στέφανον.
Λείπω δ' ἐν θαλάμοις γαμέτου χορὸν εὐκλέα παίδων,
Πιστὸν ἐμοῦ βιότου μάρτυρα σωφροσύνης.
Μουνόγαμος θνήσκω, δέκα δ' ἐν ζωοῖσιν ἔτη ζῶ
Νυμφικὴ, εὐτεκνίης καρπὸν ἀειραμένη.

586. ΑΔΗΛΟΝ.

Αἰνοβόρον Βακχή με κατέκτανε θηροτρόφον πρὶν
Οὐ κρίσει ἐν σταδίοις, γυμνασίαις δὲ κλυταῖς.

* Extat Anthol. Steph. Append. pag. 499.

587. Εἰς Πρόκλον καὶ Συριανὸν τοὺς φιλοσόφους.

Πρόκλος ἐγὼ Λύκιος γενόμην * γένος, ὃν Συριανὸς
Ἐνθάδ' ἀμοιβὸν ἑῆς θρέψε διδασκαλίης.
Ξυνὸς δ' ἀμφοτέρων ὅδε σώματα δέξατο τύμβος.
Αἴθε δὲ καὶ ψυχὰς χῶρος ἑεὶς λελάχοι.

588. Εἰς Πατέριον υἱὸν Μιλτιάδου καὶ Ἀττικῆς Ἀθηναῖον.

Πατέριον λιγύθυμον, ἐπήρατον, ἔλλαχε τύμβος
Μιλτιάδου φίλον υἷα καὶ Ἀττικίης βαρυτλήτου.
Κεκροπίης βλάστημα, κλυτὸν γένος Αἰακιδάων,
Ἔμπλεον Αὐσονίων θεσμῶν σοφίης τ' ἀνὰ πάσης,
Τῶν πισυρῶν ἀρετῶν ἀμαρύγματα πάντα φέροντα,
Ἠΐθεον χαρίεντα, τὸν ἥρπασε μόρσιμος αἶσα,
Οἷά τε ἀγλαόμορφον ἀπὸ χθονὸς ἔρνος ἀήτης,
Εἰκοσικαιτέτρατον βιότου λυκάβαντα περῶντα.
Λεῖψε φίλοις δὲ τοκεῦσι γόον καὶ πένθος ἄλαστον.

* Subſtituit γένος Reiskius, e Marini Vit. Procli pag. 75. ed. Fabr. Lond. Quod, ut ſuo Lipſienſi, noſtro etiam Bodleiano deeſt.

589. Εἰς

589. Εἰς Σαβῖνον ἐν Κορίνθῳ θαύματος ἄξιον.

Τοῦτό τοι ἡμετέρης μνημήϊον, ἐσθλὲ Σαβῖνε,
Ἁ λίθος ἁ μικρὰ τῆς μεγάλης φιλίης.
Αἰεὶ ζητήσω σε· σὺ δ', εἰ θέμις, ἐν φθιμένοισι
Τοῦ λήθης ἐπ' ἐμοὶ μή τι πίῃς πόματος.

590. Εἰς Ἀδείμαντον.

Οὗτος Ἀδειμάντου κείνου τάφος, οὗ διὰ βουλὰς
Ἑλλὰς ἐλευθερίης ἀμφέθετο στέφανον.

591. ΣΙΜΩΝΙΔΟΥ.

Κἂν με κατακρύπτῃς, ὡς οὐδενὸς ἀνδρὸς ὁρῶντος,
Ὄμμα δίκης καθορᾷ πάντα τὰ γιγνόμενα.

592. ΑΔΕΣΠΟΤΟΝ.

Εἰς Τετμενάνης υἱὸν Ζηνόδοτον, ἱππέα Βασιλέως
Μάρκου ἢ Ἀδριανοῦ.

Τὶς μὲν ἂν ᾖς, ὅδε τύμβος ἐϋγλύπτοιο μετάλλου
Ἥρωος μεγάλου νέκυος κατὰ γυῖα καλύπτει,
Ζηνοδότου, ψυχὴ δὲ παρ' οὐρανὸν, ᾗχί περ Ὀρφεύς.
Ἱππεὺς μὲν γὰρ ἔην βασιλήϊος ἄλκιμος οὗτος,

Κύδιμος, ἀρτιεπὴς, θεοείκελος. Ἐν δ' ἄρα μύθοις
Σωκράτεος μίμημα παρ' Αὐσονίοισιν ἐτύχθη.
Παισὶ δὲ καλλείψας πατρώϊον αἴσιον ὄλβον,
Ὠμογέρων τέθνηκε λιπὼν ἀπερείσιον ἄλγος
Ἐγγενέεσσι, φίλοισι, καὶ ἀστεῖ καὶ πολιήταις.

593. ΖΩΝΑ τοῦ ΣΑΡΔΙΑΝΟΥ τοῦ καὶ ΔΙΟΔΩΡΟΥ.

Ἀΐδη, ὃς ταύτης καλαμώδεος ὕδατι λίμνης
Κωπεύεις νεκύων βάριν, ἔχων ὀδύνας,
Τὸν Κινύραν, τὴν χεῖρα βατηρίδος ἐκβαίνοντι
Κλίμακος ἐκτείνας, δέξο, κέλαινε Χάρων.
Θραύει γὰρ τὸν παῖδα τὰ σάνδαλα, γυμνὰ δὲ θεῖναι
Ἴχνια δειμαίνει ψάμμον ἐπ' ἠϊονίτιν.

594. ΑΝΤΙΣΤΙΟΥ.

Εἰς Μενέστρατον καὶ Μένανδρον καὶ Διονύσιον ἀθλητάς.

Ἀώου προχοαί σε, Μενέστρατε, καὶ σὲ, Μένανδρε,
Λαίλαψ Καρπαθίη, καὶ σὲ πόρος Σικελὸς
Ὤλεσεν ἐν πόντῳ, Διονύσιε, φεῦ τόσον ἄλγος
Ἑλλάδι, τοὺς πάντων κρέσσονας ἀθλοφόρους.

595. ΑΝΤΙ-

595. ΑΝΤΙΠΑΤΡΟΥ.

Εἰς νύμφιόν τινα ἐπὶ τῆς παςάδος τελευτήσαντα.

Αὔσονος Ἡγερίου με λέγειν νέκυν, ᾧ μετιόντι
 Νύμφην ὀφθαλμοὺς ἀμβλὺ κατέσχε νέφος.
Ὄμμασι δὲ πνοιὴν συναπέσβεσε μοῦνον ἰδόντ' ἐς
 Κούραν. Φεῦ κείνης, ἥλιε, θευμορίης.
Ἔρροι δὴ κεῖνο φθονερὸν σέλας, εἴθ' Ὑμέναιος
 Ἧψέ μιν οὐκ ἐθέλων, εἴτ' Ἀΐδης ἐθέλων.

596. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.

Εἴς τινα ἔγκυον ἐν σεισμῷ τετοκυίαν τιναοσομένου τοῦ δώματος.

Δώματά μοι σεισθέντα κατήριπεν. Ἀλλ' ἐμὸς ἄπλως
 Ἦν θάλαμος, τοίχων ὀρθὰ τιναοσομένων.
Οἷς ὑποφωλεύουσιν ὑπήλυθον αἱ κακόμοιροι
 Ὠδῖνες, σεισμῷ δ' ἄλλον ἔμιξα φόβον.
Μαῖα δέ μοι λοχίων αὐτὴ φύσις. * Ἀμφότεροι δὲ
 Κοινὸν ὑπὲρ γαίης εἴδομεν ἠέλιον.

* Et mater & infans.

597. ΕΡΥΚΙΟΥ.

Εἰς Παρθένιον Φωκαέα εἰς Ὅμηρον παροινήσαντα.

Εἰ καὶ ὑπὸ χθονὶ κεῖται, ὅμως ἔτι καὶ κατὰ πίσσαν
 Τοῦ μιαρογλώσσου χεύατε Παρθενίου.
Οὕνεκα Πιερίδεσσιν ἐνήμεσε μυρία κεῖνα
 Φλέγματα, καὶ μυσαρῶν ἀπλυσίην ἐλέγων.
Ἤλασε καὶ μανίης ἐπὶ δὴ τόσον, ὥστ' ἀγορεῦσαι
 Πηλὸν Ὀδυσσείην καὶ βάτον Ἰλιάδα.
Τοίγαρ ὑποζοφίαισιν Ερινύσιν ἀμμέσον ἧπται
 Κωκυτοῦ, κλοιῷ λαιμὸν ἀπαγχόμενος.

598. ΑΛΛΟ.*

Ἔφθανεν Ἡλιόδωρος, ἐφέσπετο δ' οἱ ὅσον ὥρη
 Ὕστερον, ἀνδρὶ φίλῳ, Διογένεια δάμαρ.
Ἄμφω δ', ὡς ὑμέναιον, ἐπὶ πλακὶ τυμβεύονται
 Ξυνὸν ἀγαλλόμενοι καὶ τάφον ὡς θάλαμον.

* Apollonidæ eſt, & habetur Antholog. Steph. pag. 207. A Reiskio tamen emendatius expreſſum tenuimus.

599. ANTI-

599. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.

Εἰς τὴν ἐν Δικαιάρχῃ θάλασσαν.

Εἰπὲ Δικαιάρχεια, τί σοι τόσον εἰς ἅλα χῶμα
Βέβληται μέσσου γευόμενον πελάγους;
Κυκλώπων τάδε χεῖρες ἐνιδρύσαντο θαλάσσῃ
Τείχεα; μέχρι πόσου γαῖα βιαζομένα;
Κόσμου νηΐτην δέχομαι στόλον. Εἴσιδε Ῥώμην
Ἐγγύθεν. Εἶτ' αὐτῆς μέτρον ἔχω λιμένα.

600. ΚΡΙΝΑΓΟΡΟΥ.

Εἰς Εὐνικίδαν τινα, οὗ τινος ἡ λάρναξ ἀπὸ λυγδίνης πλακὸς ἐχρημάτιζε.

Εἰ καὶ τὸ σῆμα λυγδίνης ἀπὸ πλακὸς,
Καὶ ξεστὸν ὀρθῇ λαοτέκτονος σταθμῇ·
Οὐκ ἀνδρὸς ἐσθλοῦ. Μὴ λίθῳ τεκμαίρεο,
Ὦι λῷστε, τὸν θανόντα. Κωφὸν ἡ λίθος,
Τῇ καὶ ζοφώδης ἀμφιέννυται νέκυς.
Κεῖται δὲ τῇδε τὠλιγηπελὲς ῥάκος
* Ευνικίδαο, σήπεταί θ' ὑπὸ σποδῷ.

* Repone Εὐνιδίκοιο: Ut in Tit. Εὐνιδίκου ſc. 'expertem juſtitiæ.' Patet ex Anthol. Steph. p. 284. Cod. Bodl. ut edidimus.

601. ΦΙΛΙΠ-

601. ΦΙΛΙΠΠΟΥ.

Ἥρως Πρωτεσίλαε, σὺ γὰρ πρώτην ἐμύησας
 Ἴλιον Ἑλλαδικȣ̃ θυμὸν ἰδεῖν δόρατος.
Καὶ περὶ σοῖς τύμβοις ὅσα δένδρεα μακρὰ τέθηλε,
 Πάντα τὸν εἰς Τροίην ἐκκεκύηκε χόλον.
Ἴλιον ἢν ἐσίδῃ γὰρ, ἀπ' ἀκρεμόνων κορυφαίων
 Καρφȣ̃ται πετάλων κόσμον ἀναινόμενα.
Θυμὸν ἐπὶ Τροίῃ πόσον ἔζεσας· ἡνίκα τὴν σὴν
 Σώζει ϗ στελέχη μῆνιν ἐπ' ἀντιπάλοις.

602. ΒΑΣΣΟΥ ΛΟΛΛΙΟΥ.

Ἀδ' ἐγὼ ἡ τοσάκις Νιόβη λίθος, ὁσσάκι μήτηρ
 Δύσμορος ἐκ μαστῶν * ἔτηξα γάλα,
Αἴδεω πολὺς ὄλβος ἐμῆς ὠδῖνος, ἀριθμὸς
 Ἢ τέκον. Ὦ μεγάλης λείψανα πυρκαΐης.

603. ΤΟΥ ΑΥΤΟΥ.

Εἰς Γερμανικὸν τὸν Καίσαρος ἀδελφιδȣ̃ν, τὸν πατέρα Νέρωνος.

Κλειδȣ̃χοι νεκύων, πάσας Ἀΐδαο κελεύθȣς
 Φράγνυτε, ϗ στομίοις κλεῖθρα δέχεσθε πύλαι.

* F. λευκὸν. Habet eandem lacunam Codex Bodleianus.

Αὐτὸς ἐγὼν Ἀΐδας, ἐνέπω. Γερμανικὸς ἄστρων,
Οὐκ ἐμὸς. Οὐ χωρεῖ νῆα τόσην Ἀχέρων.

604. ΔΙΟΚΛΕΟΥΣ ΚΑΡΥΣΤΙΟΥ.

Μή με κόνει κρύψητε. Τὶ γὰρ; πάλι μηδ' ἐπὶ ταύτας
'Ηιόνος τοὐκ ὄνοταν γαῖαν ἐμοὶ τίσετε.
Μαίνετο δ' εἰς με θάλασσα, καὶ ἐν χέρσοισί με δειλὸν
Εὑρίσκειν ῥαχίαις οἶδε καὶ εἰν ἀΐδῃ.
Χέρσῳ δ' ὑπεκβαίνει ἐμεῦ χάριν ὕδατι θυμὸς
Παρ' χεῦμα στυθερῇ μιμνέμεν ὡς ἄταφοι. *

605. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Μυλεργάτας ἀνήρ με † κῇν ζωᾶς χρόνοις
Βαρυβρομήεσσαν εἶχε δινητὰν πέτρον,
ΠυρηΦάτου Δήμητρος εὐκάρπου λάτριν,
Καὶ κατθανὼν στάλωσε τῷδ' ἐπ' ἠρίῳ
Σύνθημα τέχνας. Ὡς ἔχῃ μ' ἀεὶ βαρὺν
Καὶ ζῶν ἐν ἔργοις καὶ θανὼν ἐπ' ὀστέοις.

* Perobſcurum adhuc & mendoſum: licèt in eod. reficiendo Reiskius egregie laboraverit. In v. ult. παρ χειμα Cod. Bodl.

† Lapidem molarem.

606. ΑΝΤΙΦΙΛΟΥ.

Εἰς Ἐτεοκλέα καὶ Πολυνείκην.

Τηλοτάτω χεύασθαι ἔδει τάφον Οἰδιπόδαο
 Παισὶν ἀπ' ἀλλήλων, οἷς πέρας οὐδ' ἀΐδης,
Ἀλλὰ καὶ εἰς Ἀχέροντος ἕνα πλόον ἠρνήσαντο,
 Χὠ στυγερὸς ζώει κἠν φθιμένοισιν Ἄρης.
Ἠνίδε πυρκαϊῆς ἄνισον φλόγα· δαιομένα γὰρ
 Ἐξ ἑνὸς εἰς δισσὰν δῆριν ἀναστρέφεται. *

607. ΑΝΤΙΠΑΤΡΟΥ.

Εἰς Λυσιδίκην γραῦν, ἣν ἡ οἰκία πεσοῦσα κατέκτεινε.

Χειμερίου νιφετοῖο περὶ θριγκοῖσι τακέντος
 Δῶμα πεσὸν τὴν γραῦν ἔκτανε Λυσιδίκην.
Σῆμα δέ οἱ κωμῆται ὁμήλικες οὐκ ἀπ' ὀρυκτῆς
 Γαίης, ἀλλ' αὐτὸν πύργον ἔθεντο τάφον.

* Haud novum figmentum poetæ, ſed Græcis creditum, paſſimque traditum.

608. ΘΕΟ-

608. ΘΕΟΔΩΡΙΔΑ.

Εἰς Εὐφορίωνος τάφον.

Εὐφορίων ὁ περισσὸν ἐπιστάμενος τι ποιῆσαι
  Πειραϊκοῖς κεῖται τῇδε παρὰ Σκέλεσιν.
Ἀλλά συ τῷ μύστῃ ῥοιὴν ἢ μῆλον ἄπαρξαι,
  Ἢ μύρτον. Καὶ γὰρ ζῶος ἐὼν ἐφίλει.

609. ΔΙΟΣΚΟΡΙΔΟΥ.

Εἰς Σαπφώ.

Ἥδιστον φιλέουσι νέοις πρὸς ἄναψιν ἐρώτων,
  Σαπφώ, σὺν Μούσαις εἴτε σε Πιερίσιν
Ἢ Ἑλίκων εὔκισσος ἴσα πνείουσαν ἐκείναις
  Κοσμεῖ τὴν Ἐρέσῳ μοῦσαν ἐν Αἰολίδι·
Ἢ καὶ Ὑμὴν ὑμέναιος ἔχων εὐφεγγέα πεύκην
  Σύν σοι νυμφιδίων ἵσταθ' ὕπερ θαλάμων.
Ἢ Κινύρεω νέον ἔρνος ὀδυρομένη Ἀφροδίτῃ
  Σύνθρηνος μακάρων ἱερὸν ἄλσος ὁρῇς·
Πάντη, πότνια, χαῖρε. Θεοῖς ἴσα σὰς γὰρ ἀοιδὰς
  Ἀθανάτας ἔχομεν νῦν ἔτι θυγατέρας.

610. ΤΟΥ ΑΥΤΟΥ.

Εἰς Θέσπιν τραγῳδόν.

Θέσπις ὅδε, τραγικὴν ὃς ἀνέπλασε πρῶτος ἀοιδὴν,
  Κωμήταις νεαρὰς καινοτομῶν χάριτας,
Βάκχος ὅτ' ἀγρώταν κατάγοι χορὸν, ᾧ τρύγος ἀσκὸς
  Χ' ὡ 'τ]ικὸς ἦν σύκων ἄῤῥιχος ἆθλον ἔτι.
Οἱ δὲ μεταπλάσσουσι νέοι τάδ'. Ὁ μυρίος αἰὼν
  Πολλὰ προσευρήσει χἄτερα, τἄλλα δ' ἐμά.

611. ΤΟΥ ΑΥΤΟΥ.

Θέσπιδος εὕρεμα τοῦτο. Τὰ δ' ἀγροιῶτιν ἀν' ὕλαν
  Παίγνια, καὶ κώμους τούσδ' ἔτι λιτοτέρους
Αἰσχύλος ἐξύψωσεν, ὁ μὴ σμιλευτὰ χαράξας
  Γράμματα, χειμάῤῥῳ δ' οἷα καταρδόμενα,
Καὶ τὰ κατὰ σκηνὴν μετεκαίνισεν. Ὦ στόμα πάντων
  Δέξιον ἀρχαίων, ἦσθά τις ἡμιθέων.

* 612. 613.

* Extat Hoc, Anthol. Steph. p. 234. Alterum legas inter Callimachi luſus.

614. ΑΛΛΟ.

614. ΑΛΛΟ.

Εὐκράτεω Μελέαγρον ἔχω, ξένε, τὸν σὺν Ἔρωτι
Καὶ Μούσαις κεράσανθ' ἡδυλόγους χάριτας.

615. ΑΛΛΟ.

Πρώτα μοι Γαδάρων κλεινὰ πόλις ἔπλετο πάτρα,
Ἠνδρωσεν δ' ἱερὰ δεξαμένη με Τύρος.
Ἐς γῆρας θ' ὅτ' ἔβην, ἡ καὶ Διὰ θρεψαμένη Κῶς
Κἀμὲ θετὸν Μερόπων ἀστὸν ἐγηροτρόφει.
Μοῦσαι δ' εὐκολίδες με τὸν Εὐκράτεω Μελέαγρον
Παῖδα μελιτλείαις ἠγλάϊσαν χάρισιν.

616. ΑΝΤΙΠΑΤΡΟΥ.

Μαστεύω, τί σευ, ὅστις, ἐπὶ στηλήτιδι πέτρᾳ,
Λυσιδίκη, γλυπτὸν τόνδ' ἐχάραξε νόον;
Ἁνία γὰρ καὶ κημὸς, ὅτ' εὐόρνιθι Τανάγρᾳ
Οἰωνὸς βλαστῶν, θοῦρος, ἐγερσιμάχας,
Οὐχ ἅδεν, οὐδ' ἐπέοικεν ὑπωροφίοισι γυναιξὶν,
Ἀλλὰ τά τ' ἠλακάτας ἔργα, τά θ' ἱστοπόδων.

Τὰν

Τὰν μὲν ἀνεγρομέναν με ποτ᾽ εἴρια νύκτερος ὄρνις,
  Ἁνία δ᾽ αὐδάσει δάματος ἡνιόχον,
Ἱππαστὴρ δ᾽ ὅδε κημὸς ἀείσεται οὐ πολύμυθον,
  Οὐ λάλον, ἀλλὰ καλᾶς ἔμπλεον ἡσυχίης.

617. ΤΟΥ ΑΥΤΟΥ.

Μὴ θάμβει μάστιγα Μυροῦς ἐπὶ σήματι λεύσσων,
  Γλαῦκα, βιὸν, χαροπὰν χᾶνα, θοὰν σκύλακα.
Τόξα μὲν αὐδάσει τὰν ἔντονον ἀγέτιν οἴκου,
  Ἁ δὲ κύων τέκνων γνήσια κηδομέναν.
Μάστιξ δ᾽ οὐκ ὀλοὰν, ξένε, δεσπότιν, οὐδ᾽ ἀγέρωχον
  Δμωσὶ, κολάστειραν δ᾽ ἔνδικον ἀμπλακίης.
Τὰν καὶ δόμων φυλακᾶς μελεδήμονα χανὸς ἄγαλμα,
  Ἁ δὲ γλαὺξ γλαυκᾶς Παλλάδος ἀμφίπολον.
Τοιοῖσδ᾽ ἀμφ᾽ ἔργοισιν ἐγάθεον. Ἔνθεν ὁμευνος
  Τοιάδ᾽ ἐμᾷ στάλᾳ σύμβολα τεῦξε Βίτων.

618. ΤΟΥ ΑΥΤΟΥ.

Εἰπὲ, λέων, φθιμένοιο τί πρὸς τάφον ἀμφιβέβηκας
  Βουφάγε; τίς τᾶς σᾶς ἄξιος ἦν ἀρετᾶς;

Υἱὸς

Υἱὸς Θευδώροιο Τελευτίας, ὃς μέγα πάντων
Φέρτερος ἦν, θηρῶν ὅσσον ἐγὼ κέκριμαι.
Οὐχὶ μάτην ἕστηκα, φέρω δέ τι σύμβολον ἀλκᾶς
Ἀνέρος. Ἦν γὰρ τοῖς δυσμενέεσσι λέων.

619. ΤΟΥ ΑΥΤΟΥ.

Ἁ στάλα, φέρ' ἴδω, τίν' ἔχει νέκυν. Ἀλλὰ δέδορκα
Γράμμα μὲν οὐδέν πω τμαθὲν ὕπερθε λίθου,
Ἐννέα δ' ἀστραγάλους πεπτηότας, ὧν πίσυρες μὲν
Πρᾶτοι Ἀλεξάνδρου μαρτυρέουσι βόλον,
Οἱ δὲ, τὸ τᾶς νεότατος ἐφήλικος ἄνθος, Ἔφηβον,
Εἷς δ', ὅ γε μανύει Χῖον ἀφαυρότερον.
Ἦρα τόδ' ἀγγέλλοντι· καὶ ὁ σκάπτροισι μεγαυχὴς,
Χὠ θάλλων ἥβᾳ τέρμα τὸ μηδὲν ἔχει;
Ἢ τὸ μὲν οὔ, δοκέω δὲ ποτὶ σκοπὸν ἰθὺν ἐλάσσειν
Ἰὸν, κρηταιεὺς ὥς τις ὀϊστοβόλος.
Ἧς ὁ θανὼν Χῖος μὲν, Ἀλεξάνδρου δὲ λελογχὼς
Οὔνομ', ἐφηβείῃ δ' ὤλετ' ἐν ἡλικίᾳ.
Ὡς εὖ τὸν φθίμενον νέον ἄκριτα, καὶ τὸ κυβευθὲν
Πνεῦμα δι' ἀφθέγκτων εἶπέ τις ἀστραγάλων.

620. Εἰς

* 620. Εἰς Ἀντίπατρον Μελεάγρου.

Ἁ στάλα, σύνθημα τί σοι γοργωπὸς ἀλέκτωρ
Ἕστηκε λαΐνᾳ σκαπτροφόρος πτέρυγι,
Ποσσὶν ὑφαρπάζων νίκας κλάδον, ἄκρα δ' ἐπ' αὐτᾶς
Βαθμίδος ἐκπροπεσὼν κέκλιται ἀστράγαλος;
Ἦ ῥά γε νικάεντα μάχᾳ σκαπτοῦχον ἄνακτα
Κρύπτεις. Ἀλλὰ τί σοι παίγνιον ἀστράγαλος;
Πρὸς τε τὶ λιτὸς ὁ τύμβος; Ἐπιπρέπει ἀνδρὶ πενιχρῷ
Ὄρνιθος κλαγγαῖς νυκτὸς ἀνεγρομένῳ.
Οὐ δοκέω. Σκᾶπτρον γὰρ ἀναίνεται. Ἀλλὰ σὺ κεύθεις
Ἀθλοφόρον νίκαν ποσσὶν ἀειράμενον.
Οὐ ψαύω καὶ τῇδε. Τὶ γὰρ ταχὺς εἴκελον ἀνὴρ
Ἀστραγάλῳ; Νῦν δὴ τ' ὠτρεκὲς ἐφρασάμην.
Φοίνιξ † οὐ νίκαν ἐνέπει, πάτραν δὲ, μεγαυχῆ
Ματέρα Φοινίκων τὰν πολύπαιδα Τύρον.
Ὄρνις δ' ὅττι γεγωνὸς ἀνὴρ, καὶ τῶν περὶ Κύπριν
Πρῶτος, κὴν Μούσαις ποικίλος ὑμνοθέτας.

* Hujus, ut ſuperioris etiam Carminis, obſcuriores alicubi reconditoſque ſenſus, enarratos habes apud Leich. Car. Sep. p. 14. ſeq. & Vann. Crit. pag. 167. ſeq. & Pau. de Alea Vett. Quod nobis ſufficiat indicaſſe.

† Luditur in hac Voce, quæ & Phœnix & palma ſignif.

Σκᾶπτρα

Σκᾶπτρα δ' ἔχει σύνθημα λόγου, θνάσκειν δὲ πεσόντα
Οἰνοβρεχῆ προπετὴς ἐννέπει ἀστράγαλος.
Καὶ δὴ σύμβολα ταῦτα. Τὸ δ' οὔνομα πέτρος ἀείδει
Ἀντίπατρον, προγόνων φύντ' ἀπ' ἐρισθενέων.

621. ΔΙΟΣΚΟΡΙΔΟΥ.

* Τίς τὰ νεοσκύλευτα ποτὶ δρυῒ τῇδε καθῆψεν
Ἔντεα; τῷ πέλτα Δωρὶς ἀναγράφεται;
Πλάθει γᾶ Θυρεᾶτις ὑφ' αἵματος. Ἅδε λοχῖται
Ἄμμες ἀπ' Ἀργείων τοὶ δύο λειπόμεθα,
Πάντα νέκυν μάστευε δεδουπότα, μή τις ἔτ' ἔμπνους
Λειπόμενος Σπάρτᾳ † ἔλαμψε νόθον.

* Præclarum Monumentum prolixiùs illuſtrari debet.

Solus erat ſuperſtes Othryades e trecentis Spartanis qui prælium cum trecentis Athenienſibus commiſerant de Limitibus agrorum: qui tamen ſe ſolum de popularibus ſuis ſuperſuiſſe fortiter indignans, ſibi ipſi manus injecit; erecto, Trophæi more, clypeo ſuo, quod inſcripſerat VICI. Qui hic loquentes inducuntur, ſunt duo illi Juvenes Athenienſes, qui ſoli Athenienſium trecentorum ſuperſtites ex eodem certamine, cùm abiiſſent campo, certo perſuaſi neminem adhuc hoſtium jacentium ſpirare, finguntur a Poeta redire in campum, luſtrare mortuos, &, dum ſtupore percelluntur poſiti poſt diſceſſum ſuum trophæi, talibus invicem loqui.

† Ita Cod. Bodl. Reſcribi vult Reiſ. Κῦδος ἔκλεψε.

Ἴσχε βάσιν. Νίκα γὰρ ἐπ' ἀσπίδος ἅδε Λακώνων
  Φωνεῖται θρόμβοις αἵματος Ὀθρυάδα.
Χὼ τόδε μοχθήσας σπαίρει πέλας. Ἆ πρόπατερ Ζεῦ,
  Στύξον ἀνικάτου σύμβολα φυλόπιδος.

* 622. 623. 624.

625. Εἰς τὸ ποιημάτιον Ἰωάννου τοῦ γραμματικοῦ.

Ζωοτύπος τόλμησεν ἃ μὴ θέμις εἰκόνι γράψαι,
Εὐεπίη δ' ἐνέλεσσε φύσιν ψευδήμονα κόσμου,
Ἐγγὺς ἀληθείης δὲ, γραφὴ δ' ἐψεύσατο πάντα.

626. Εἰς πόλιν τῶν Μύρων τῆς Λυκίας.

Καλλιχόρου τόδε τεῖχος ἀνέγειρσε πόληος
Μαρκιανὸς σκηπτοῦχος, ὑπ' ἐννεσίῃσιν ὑπάρχου
Παλλαδίου, θεσμοῖς ἠδὲ περίφρονος Ἀρτεμίωνος,
Ἡ δὲ πόλις παλίνορσος ἑὸν χρόνῳ εὕρατο μέτρον.

627. Εἰς τάφον τοῦ ἁγίου Νικάνδρου.

Ἑπτά με καὶ δέκα παῖδ' ἐτέων ἀκέραιον ἄχραντον
  Νίκανδρον πιστὸν μάρτυρα θῆκε θεός.

* Non hujuſce Loci ſunt & extant.

628. Ἐπιτύμ-

628. Ἐπιτύμβιον ἐν Νικαίῃ πλησίον τῆς λίμνης ἐν τῷ ὀβελίσκῳ.

Αὔγησον, Νίκαια, τὸν οὐρανομήκεα τύμβον,
Καὶ τὰν ἀελίῳ γείτονα πυραμίδα,
Ἃ τὸν ἐνὶ ζωοῖς βεβοαμένον ἱεροφάνταν
Βρίθει ἀμετρήτῳ σήματι κρυπτόμενον.
Ἐστὶ Σακέρδωτος τόσον ἠρίον, ἐστὶ Σεουήρας
Μνᾶμα τόδ', ὧν γείτων οὐρανὸς, οὐκ ἀΐδης.

629. ΑΛΛΟ.

Οὐράνιον τὸ μνᾶμα, καὶ ἁ χρυσήλατος ἀκτὶς
Ἀνδρὸς ἴσον βιότῳ καὶ τάφον εὐραμένου
Ἄστροις γειτονέοντα. Φέρει δ' ὅσον οὔ τινα τύμβος
Ἀνέρα τὸν τελετᾶς οὐρανίδος ζάκορον.
Τὸν πάτραν ἐριποῦσαν ἀπὸ χθονὸς ὑψώσαντα,
Τὸν φρενὸς ἢ γλώσσας ἄκρα λαχόντα γέρα,
Ὧι πήρι δηρίσαντο καὶ ἁ νέκυν ἐν πυρὶ θεῖσα
Ἀτθὶς, χ' ἁ κόλποις ὀστέα δεξαμένα.

630. ΑΛΛΟ.

Τȣ̃το Σακέρδωτος μεγάλȣ μέγα σῆμα τέτυκται
Παμφαὲς Ἀσκανίης ἄςρον ἐπιχθόνιον,
Ἀκτίνων ἀντωπὸν, ὁ δ᾽ ἥσυχος ἔνδοθι δαίμων
Κεῖται, ὁ ϗ πάτρη δεξιτέρην τανύσας
Κεκλιμένη, ϗ ςέμμα περὶ κροτάφοισιν ἀνάψας
Ἱερὸν ἐκ πατρὸς παιδὶ νεαζόμενον.
Ὃν πάτρη μὲν ἔδεκτο φίλον νέκυν, ἤγισε δ᾽ Ἀτθὶς
Πυρκαϊῇ, σέβεται δ᾽ Ἑλλὰς ἄπισα πόλις.

631. ΑΛΛΟ.

Ἁ πάτρα Νίκαια, πατὴρ δέ μοι ὀργιοφάντας
Οὐρανȣ̃, αὐτὰρ ἐγὼ κλαρονόμος τελετᾶς.
Οὗτος ὁ καὶ σεισθεῖσαν ἐμὰν πόλιν ἐξ ἀΐδαο
Ῥυσάμενος δώροις Αὐσονίοιο Διός.
Θνᾶσκον δ᾽ Ἀσανίης μὲν ἀπόπροθεν, ἠδ᾽ ἐπὶ γαίας
Ἀτθίδος ἀρχεγόνȣ πυρκαϊᾶς ἐπέβαν.
Μνᾶμα δέ μοι περίσαμον ὁμώνυμος εὔρατο πάππᾳ
Παῖς ἐμὸς, ἁ δ᾽ ἀρετὴ λεύσσει ἐπ᾽ ἀμφοτέρȣς.

632. ΑΛΛΟ.

632. ΑΛΛΟ.

Εἷς γάμος ἀμφοτέρων, ξυνὸς βίος. Οὐδὲ, θανόντων
Μνήμονες ἀλλήλων, ἔσχον ἀποικεσίην.
Καί σεῦ μὲν τελεταί τε καὶ ἄῤῥενος ἔργα Σακέρδως
Κηρύξει βίοτον πάντας ἐς αἰελίους.
Αὐτὰρ ἐμὲ Σεουῆραν ἀνὴρ, τέκος, ἤθεα, κάλλος,
Τῆς πρὶν Πηνελόπης θήσει ἀοιδοτέρην.

633. ΚΥΡΟΥ ποιητοῦ.

Ἐγκώμιον εἰς Θεοδόσιον τὸν βασιλέα.

Παντὰ μὲν Αἰακίδαο φέρεις ἀριδείκετα ἔργα,
Νόσφι λοχαίου ἔρωτος, ὀϊστεύεις δ᾽ ἅτε Τεῦκρος,
Ἀλλ᾽ οὔ τοι νόθον ἦμαρ. Ἔχεις δ᾽ ἐρικύδεα μορφὴν
Τὴν Ἀγαμεμνονίην. Ἀλλ᾽ οὐ φρένας οἶνος ὀρίνει.
Ἐς πινυτὺν δ᾽ Ὀδυσῆϊ δαΐφρονι πᾶν σε ἐΐσκω,
Ἀλλὰ κακῶν ἀπάνευθε δόλων. Πολιοῦ δὲ γέροντος
Ἶσον ἀποστάζεις, βασιλεῦ, μελιηδέα φωνὴν,
Πρὶν χρόνον ἀθρῆσαι τριτάτης ψαύοντα γενέθλης.

634. ΑΛΛΟ.

634. ΑΛΛΟ.

* Μάρτυρας ἐν πελάγει πόθεν εὕρωμαι, εἴπατε πέτραι,
Εἴπατε κύματα μακρὰ, πόσαις ἐμάχοντο θυέλλαις,
Νηῦς ἐάγη, πέσεν ἱςὸς, ἔδυ τρόπις, ὤλετο φόρτος.

635. Ἐν τῷ κάςρῳ τῆς Λίνδου ἐν τοῦ ἄκρον.

Ἐςὶ μὲν ἀρχαίης Λίνδου κλέος, † Ἀτρυτώνη,
Ληξαμένη ᾽ν ὄχθοις οὐρανίοισιν ἕδρας,
Μείζων δ᾽ αὖ κατὰ γαῖαν ἐπέρατον ἔπλετο φήμη
Παρθενικῆς ‡ γλαυκῶν πλησαμένης χαρίτων.
Νῦν γὰρ Ἀθηναίης βοάᾳ θαλερὸς σε μενοικὴς
Χῶρος ‖ καρπογόνους δερκόμενος κοτίνους.
Ἄνθεμα γὰρ τόδε λαρὸν Ἀθηναίῃ πόρε Νηρεὺς §
Ἀγλαόχαρτος ἑῶν νειμάμενος χαρίτων.
Κρέσσον γὰρ ** Κελεοῖο καὶ Ἰκαρίοιο κατ᾽ αἶαν
Πάμπαν ἀέξησαι τὴν πιερὴν ἐλαίην ††.

* Sc. meorum laborum. † Minerva. ‡ Oleis. ‖ Attica. § Neptunus. ** Minervæ. †† Quàm equos alere.

636. ΛΕΟΝ-

636. ΛΕΟΝΤΟΣ Φιλοσόφου, τοῦ ἐπονομαζομένου Ἕλληνος.
Εἰς ἑαυτόν.

Εὖ γε, τύχη, με ποιεῖς ἀπραγμοσύνῃ μ' Ἐπικούρου
Ἡδίστῃ κομέουσα, καὶ ἡσυχίῃ τέρπουσα.
Τίπτε δέ μοι χρέος ἀσχολίης πολυκύδεος ἀνδρῶν;
Οὐκ ἐθέλω πλοῦτον, τυφλὸν φίλον, ἀλλοπρόσαλλον,
Οὐ τιμάς. Τιμαὶ δὲ βροτῶν ἀμενηνὸς ὄνειρος.
Ἔῤῥε μοι, ὦ Κίρκης δνοφερὸν σπέος. Αἰδέομαι γὰρ
Οὐράνιος γεγαὼς βαλάνους, ἅπε θηρίον, ἔσθειν.
Μισῶ λωτοφάγων γλυκερὴν λιπόπατριν ἐδωδήν,
Σειρήνων τε μέλος κατάγωγον ἀναίνομαι ἐχθρῶν,
Ἀλλὰ λαβεῖν θεόθεν ψυχοσσόον εὔχομαι ἄνθος,
Μῶλυ, κακῶν δοξῶν ἀλκτήριον, ὦτα δὲ κηρῷ
Ἀσφαλέως κλείσας προφυγεῖν γοητήσιον ὁρμήν.
Ταῦτα λέγων τε γράφων τε πέρας βιότοιο κιχείην.

637. Τοῦ μακαρίου ΚΩΝΣΤΑΝΤΙΝΟΥ τοῦ ΣΙΚΕΛΟΥ
Εἰς τὸν θρόνον αὐτοῦ.

Εἰ μέν τις σοφὸς ἐσσὶ ἐφέζεο. Εἰ δέ γε μουσᾶν
Δακτύλῳ ἀκροτάτῳ * ἀπεγεύσαο, πόῤῥω

* Ita Cod. Bodl.

Στῆθ'

Στῆθ᾽ ἀπ᾽ ἐμοῖο καὶ ἄλλοθι δίζεο ἕδρην.
Κλισμὸς ἐγὼ φορέων σοφίης ἐπιίστορας ἄνδρας.

638. Τοῦ μακαρίου ΘΕΟΦΑΝΟΥΣ.

Ἀντίγραφον πρὸς ταῦτα.

Καί τι γε στῆμα φέρεις ἐξαίρετον, ὦ κενεαυχὲς,
Ὅττι σοφοὺς φιλέεις μεν, ἀμούσους δ᾽ ἀνταπερύκεις;
Οὐ χρυσὸν φορέεις, οὐκ ἄργυρον, οὐκ ἐλέφαντα,
Ἀλλά σε τεκτονίης ἡγήτορες ἄνδρες ἔτευξαν,
Καλλιόπης δ᾽ ἀΐδρεις καὶ ἀπευθέες Ἡφαίστοιο,
Πᾶσι σοφοῖς τ᾽ ἀσόφοις τε διάρκιον ἔμμεναι ἕδρην.

639. Τοῦ ταπεινοῦ ΚΩΝΣΤΑΝΤΙΝΟΥ τοῦ ΡΟΔΙΟΥ.

Εἰς τὸν σταυρὸν, ὃν ἀνέθετο ἐν τῇ Λίνδῳ.

Κωνσταντῖνος Ἰωάννου ἠδ᾽ Εὐδοκίης με
Τέκνον ἔτευξεν ἀγάκλυτον, ὃν Λίνδος μεγάλαυχος
Ἤνεγκε προτέρης γενεῆς προφερέστερον ἄνδρα
Καὶ πιστὸν θεράποντα σκηπτούχοιο Λέοντος,
Ὧ Ἀλέξανδρος ἀδελφεὸς ἠδ᾽ υἱὸς Κωνσταντῖνος
Σκῆπτρα θεοστήρικτα συνεξαγέτην βασιλείης.

640. Εἰς τὸν αὐτὸν σταυρὸν τοῦ αὐτοῦ πρὸς τὴν Θεοτόκον.

Ἅπαν μὲν ἔργον οὐ πρὸς ἀξίαν πέλει
Τὴν σὴν, ὑπερθαύμαστε κόσμου δέσποτι.
Ἔργων γὰρ ἔξω καὶ φθορᾶς τὸ σὸν κλέος.
Τὸ δ᾽ ἔργον, ὃ προσῆξέ σοι Κωνσταντῖνος,
Ἐπάξιον πέφυκεν, εἰ δὴ, Παρθένε,
Τοῦ σοῦ τόκου τὸ σκῆπτρον εὖ διαγράφει,
Καὶ σαρκὸς αὐτοῦ τὸ τρισόλβιον πάθος.

641. ΤΟΥ ΑΥΤΟΥ.

Εἰς τὴν εἰκόνα τῆς Θεοτόκου.

Εἰ ζωγραφεῖν τις ἤθελέν σε, Παρθένε,
Ἄστρων ἐδεῖτο μᾶλλον ἢ τῶν χρωμάτων,
Ἵν᾽ ἐγράφης φωστῆρσιν, ὡς φωτὸς πύλη.
Ἀλλ᾽ οὐχ ὑπείκει ταῦτα τοῖς βροτῶν λόγοις.
Ἃ δ᾽ οὖν φύσις παρέσχε καὶ γραφῆς νόμος,
Τούτοις παρ᾽ ἡμῖν ἱστορῇ τε καὶ γράφῃ.

642. Εἰς τὴν αὐτήν. ΜΗ.[x] †

Αὕτη τεκοῦσα παρθένος πάλιν μένει
Καὶ μὴ τροηθῇς. Ἐςὶ γὰρ τὸ παιδίον
Θεὸς θελήσας προσλαβέσθαι σαρκίον.

* 643. 644.

645. Εἰς τὴν τάβλαν.

Ὀςέα σοῦ, Παλάμηδες, ἔδει πριθέντα γενέσθαι
Ὄργανα τῆς τέχνης τῆς ἀπὸ τοῦ πολέμου.
Ἐν πολέμοις γὰρ ἐὼν ἕτερον πόλεμον κατέδειξας
Ἐν ξυλίνῳ ςαδίῳ τὸν φιλικὸν πόλεμον.

646. Εἴς τινα ἰατρὸν Ἀσκληπιάδην.

Ἀσκληπιάδης ἰατρὸς ἥρπασεν κόρην,
Μετὰ τὴν φθορὰν δὲ τοῦ γάμου τῆς ἁρπαγῆς
Ἐκάλεσε πλῆθος εἰς τὸν αὐθέντην γάμον

† Ita, cum cæteris, Codex Bodl. Ubi etiam adjicitur in Marg. Μιχαήλ. Conjecit Reiskius μητέρα Χριςοῦ. Sed Vid. Notit. Poet. Anthologic. ΜΙΧΑΗΛ.

* Extant Steph. Antholog. pag. 108. Vid. etiam 111.

Πάντες

Ἀνδρῶν χορευτῶν καὶ γυναικῶν ἀθλίων.
Τῆς οἰκίας γὰρ συμπεσούσης ἑσπέρας
Πάντες κατηνέχθησαν εἰς ᾅδου δόμους.
Νέκροι δ' ἔκειντο περὶ νεκροῖς πεπτωκότες,
Νυμφὼν δ' ὁ σεμνὸς ἐκ ῥόδων πεπλεγμένος
Ἐκ τῶν φόνων ἔσταξεν αἷμα φοίνιον.

647. ΠΑΛΛΑΔΑ.

Σιγῶν παρέρχου τὸν ταλαίπωρον βίον,
Αὐτὸν σιωπῇ τὸν χρόνον μιμούμενος.
Λαθὼν γὰρ βίωσον· εἰ γὰρ μή, * λήσεις θανών.

648. Ἐν Χίῳ.

Ἄρτι σε τὸν θάλλοντα νέοις ἐπὶ γυμνάδος ἔργοις
  Ἄβας, καλλίστοις ἄνθεσι τερπόμενον
Ἠϊθέων, Πρώταρχε, πατὴρ ἐκαλύψατο τύμβῳ,
  Ὀστέα δ' ὀγκωθεὶς οὗτος ἔδεκτο τάφος.
Πρόσθεν δ' ὁ πρέσβυς πυκινῷ δεδμημένος ἄχει
  Ἰσιάδ' ὠκύμορον μύρετο θυγατέρα.
Αἰάξας δ' ἄπληστα παλίνδρομον ἔλλαβε πένθος
  Πρώταρχος. Γαμετὴν γὰρ στονάχεσσ' ἰδίην.

* Λήσεις, ſed citra Cod. Auctor. repoſuit Reiskius.

Λαίνα δ' ὤγκωσεν τάδε σήματα. Τὰς γὰρ ἀφ' ὑμῶν
 Ἅδης γηροτρόφους ἐλπίδας ὠρφάνισε.

649. Ἐν Κρήτῃ.

Οὔρεσι Ταλλείοις ἱδρυσμένε, Μαιάδος Ἑρμῆ,
 Σπονδὴν καὶ θυσίαν δέξο φιλοφρόσυνος,
Ὧν σε Σαλλόνιος Μηνᾶς λοιβαῖσι γεραίρει,
 Κτήσιος ἐξ ὁσίης πτωχικὰ δῶρα διδούς.
Καὶ πρὶν μὲν, Ζώης ἀλόχου φάος εἰσορωώσης,
 Σὺν κείνῃ κατ' ἔτος σοὺς ἐγέραιρε τόπους.
Ἀνθ' ὧν δ' ἐγχρονίσας ἐφετήσιον οὐκ ἀπέδωκε,
 Συμβίου ἁγνοτάτης τοῦδε καταφθιμένης,
Ἀλγήσας φρένα πολλὰ, μαθὼν θ' ὅτι δεῖ γε τά θεῖα
 Τιμᾷν, διπλῆν σοὶ τήνδ' ἔπορεν θυσίην.
Καὶ σὺ ὦ παντοκράτωρ Ἐριούνιε, τόνδε φυλάσσοις
 Σῶον, ὅπως τιμᾷ σὸν δι' ὅλου τέμενος.

650. Ἐν Πάρῳ τῇ νήσῳ.

Φράζε τίνος γονέως, σέο τ' οὔνομα, καὶ πόσιν αὔδα,
 Καὶ χρόνον εἰπὲ, γύναι, καὶ πόλεων ὅθεν εἶ;
Νίκανδρος γενέτωρ, πάτρις Πάρος, οὔνομα δ' ἦν μοι
 Σωκράτεια. Φθιμένην Παρθενίων ἔθετο

Σύλλεκ-

Σύλλεκτρος τύμβῳ με. Χάριν δέ μοι ὤπασε τήνδε
　Ἔνδοξον; ζωᾶς μνῆμα καὶ ἐσσομένοις.
Καί με μικρὰν νεαροῖο βρέφους ἀφύλακτος Ἐριννὺς
　Αἱμορύτοιο νόσῳ τερπνὸν ἔλυσε βίον.
Οὔθ᾽ ὑπ᾽ ἐμαῖς ὠδῖσι τὸ νήπιον ἐς φάος ἦγον,
　Ἀλλ᾽ ὑπὸ γαστρὶ φίλᾳ κεύθεται ἐν φθιμένοις.
Τριστᾶς ἐκ δεκάδος δὲ πρὸς ἓξ ἐτέων χρόνον ἦλθον
　Ἀνδρὶ λιποῦσα τέκνων ἀρσενόπαιδα γονάν.
Διστὰ δὲ πατρὶ λιποῦσα καὶ ἱμερτῷ συνομεύνῳ,
　Αὐτὰ ὑπὸ τριτάτῳ τόνδε λέλογχα τόπον.
Ἀλλά συ παμβασίλεια θεῶν πολυωνυμε κούρα,
　Τήνδ᾽ ἄγ᾽ ἐπ᾽ εὐσεβέων χῶρον ἑλοῦσα χερός.
Τοῖς δὲ παρερχομένοισι θεὸς τέρψιν τινα δοίη
　Εἴπωσιν χαίρειν Σωκρατέαν κατὰ γῆς.

651. ΦΙΛΟΔΗΜΟΥ.

Εἰνὶ μύχεις κραδίας δοιοὺς περιθάλπω ἔρωτας,
　Τὸν μὲν Ρωμαίδος, τὸν δὲ Κορινθιάδος.
Ἡ μὲν ματρώνας τε τρόπους καὶ ἤθεα στέργειν
　Οἶδ᾽, ἀπὸ κεκρυφάλου μέχρι περισκελίδων.

Ἡ δὲ

Ἡ δὲ χύδην παρέχει πάσῃ φιλότητι προσηνῶς
 Πλαστουργοῦσα τύπους τοὺς Ἐλεφαντιάδος.
Ἄν δὲ μίαν ταῦταιν, Πεῖσων, μ' αἵρειν ἐπιτέλλεις,
 Εἰν Ἐφύρῃ μίμνω, τὴν δ' ἄρα * Γάλλος ἔχοι.

* Horatii Locum perobſcurum mire hoc Philodemi carmen illuſtrat. L. 1. S. 2. v. 121. "Gallis hanc Philodemus ait." Qui viciſſim, quid hic legi debuerit, admonuit. Etenim vitiosè ſcriptum fuit olim γ' ἄλλος. Tandem conjecturâ certiſſimâ Γάλλος reſcripſit, eruditus vir, Gisbertus Cuperus.

ΕΠΙ-

ΕΠΙΔΕΙΚΤΙΚΑ.

* 652. (1)

653. (2) ΑΝΤΙΠΑΤΡΟΥ.

Ἴσχετε χεῖρα μυλαῖον ἀλετρίδες, εὕδετε μακρὰ,
  Κἂν ὄρθρον προλέγει γῆρυς ἀλεκτρυόνων.
Δηὼ γὰρ νύμφαισι † κορῶν ἐπετείλατο μόχθους,
  Αἱ δὲ κατ' ἀκροτάτης ἀλλόμεναι τροχιῆς
Ἄξονα δινεύουσιν. Ὁ δ' ἀκτίνεσσιν ἑλιχθεὶς
  Στρωφᾶται πισύρων κοῖλα βάρη μυλάκων.
Γευόμεθ' ἀρχαίου βιότου πάλιν, εἰ δίχα μόχθου
  Δαίνυσθαι Δηοῦς ἔργα διδασκόμεθα.

* Omiſimus obſcænum carmen, ideoque magis quod argutum. † Naiadibus.

654. (3)

654. (3) ΑΝΤΙΠΑΤΡΟΥ ΜΑΚΕΔΟΝΟΣ.

Νῆσοι ἐρημαῖοι, τρύφεα χθονὸς, ἃς κελαδεινὸς
ζωςὴρ Αἰγαίου κύματος ‡ ἔντος ἔχει,
Σίφνον ἐμιμήσασθε κ̓ αὐχμηρὴν Φολέγανδρον,
Τλήμονες, ἀρχαίην δ᾽ ὤλεσατ᾽ ἀγλαΐην.
Ἦ ῥ᾽ ὑμᾶς ἐδίδαξεν ἑὸν τρόπον ἡ τότε κλεινὴ
Δῆλος ἐρημαίου δαίμονος ἀρξαμένη.

655. (4) ΔΙΟΣΚΟΡΙΔΟΥ.

Αὐλοὶ τοῦ Φρυγὸς ἔργον Ὑάγνιδος ἡνίκα Μήτηρ
Ἱερὰ τὰν Κυβέλοις πρῶτ᾽ ἀνέδειξε θεῶν,
Καὶ πρὸς ἐμὸν φώνημα καλὴν ἀνελύσατο χαίταν
Ἔκφρων Ἰδαίης ἀμφίπολος θαλάμης.
Εἰ δὲ Κελαινίτης † ποιμὴν πάρος οὐ παραείσας
Ἐγνώσθη, Φοίβου τοῦτον ἔδειξεν ἔρις.

656. (5) ΛΕΩΝΙΔΟΥ.

Ὕδατά σοι Κοτίλεια γενέθλιον ἦμαρ ὁρῶντι,
Καῖσαρ, ἐπιβλύζοι σωρὸν ἀκεςορίης.

‡ Quod Aſiam ab Europa dividit. † Forte Marſyas intelligitur.

Ὄφρα σε κόσμος ἅπας πάππον τρὶς ἐσαυγάζηται
Ὡς πατέρα τρίσσης εἶσιδεν εὐτοκίης.

657. (6) ΤΟΥ ΑΥΤΟΥ.

Ἰκρία μοι φύβλων ἀλοκώδεα σὺν καλάμοισι
Πέμπεις νειλορύτου δῶρον ἀπὸ προβολῆς,
Μουσοπόλῳ δ' ἀτελῆ, Διονύσιε, μηκέτι πέμπε
Ὄργαλα. Τὶς τούτων χρῆσις ἄτερ μέλανος;

658. (7) ΤΟΥ ΑΥΤΟΥ.

Νεῖλος * ἑορτάζει παρὰ Θύμβριδος ἱερὸν ὕδωρ,
Εὐξάμενος θύσειν Καίσαρι † σωζομένῳ,
Οἱ δ' ἑκατὸν βουπλῆγες ἑκούσιον αὐχένα ταύρων
Ἤμαξαν βωμοῖς οὐρανίοιο Διός.

659. (8) ΤΟΥ ΑΥΤΟΥ.

Καὶ λόγον ἱστορίῃ κοσμούμενον ἠκρίβωσας
Καὶ βίον ἐν φιλίῃ, Πάππε, βεβαιότατον,
Τοῦτο δ' ἑορτάζοντι γενέθλιον ἠριγένειαν
Δῶρον ὁ Νειλαιεὺς πέμπει ἀοιδοπόλος.

* Viri Nomen. † Vel Neron. vel Veſpaſian.

660. (9) Εἰς γνωστικοὺς.

Ἠέλιον νίκησε τεὸς νόος ἠδὺ φαείνων,
Αἰὲν ἀπαστράπτων βροτοφεγγέα πάνσοφον αἴγλην,
Ἡδυφαῆ, χαρίεσσαν, ἀπαστράπτουσαν ἀδύτως.

661. (10) ΜΑΙΚΙΟΥ.

Αὐτὸς, ἄναξ, ἔμβαινε θοῷ πηδήματι; ληνοῦ
  Λακτιστὴς, ἔργου δ' ἥγεο νυκτερίου.
Γλεύκωσαι πόδα γαυρὸν, ἐπιῤῥῶσαι δὲ * χορείην,
  Λοῦτριν ὑπὲρ κούφων ζωσάμενος γονάτων,
Εὔγλωσσον δ' ὀχέτευε κενοὺς μάκαρ εἰς πιθεῶνας
  Οἶνον ἐπὶ ψαιστοῖς καὶ λασίῃ χιμάρῳ.

662. (11) ΑΝΤΙΦΑΝΟΥΣ.

Εἴ τινα μὴ τέρπει λωτοῦ μέλος, ἢ γλυκὺς ἦχος
  Ψαλμῶν, ἢ τριγέρων νεκτάρεος Βρόμιος,
Ἢ πεύκας κοῦφοι στέφανοι, μύρα λιτὰ δὲ δειπνῶν
  Λαθροπόδας τρώκτας χερσὶ τίθησι τόκους,

* Qui uvam calcabant ad concentum per orbem deſultare ſolebant in lacu.

Οὗτος

Οὗτος ἐμοὶ τέθνηκε, μεριμνητὴν δὲ παρέρπω
Νεκρὸν ἐς ἀλλοτρίους φειδόμενον φάρυγας.

663. (12) ΓΕΜΙΝΟΥ.

Η παλίουρος ἐγὼ, τρηχὺ ξύλον, οἷον ἐν ἕρκει.
Τίς μ' ἄφορον λέξει τὴν φορίμων φύλακα;

664. (13) ΚΡΙΝΑΓΟΡΟΥ.

Κἢν μύχον Ὑρκανῖον ἢ ἐς πύματον Σολόεντα
Ἔλθῃ καὶ Λιβυκῶν † κράσπεδον Ἑσπερίδων
Καῖσαρ ὁ πουλυσέβαστος, ἅμα κλέος εἶσιν ἐκείνῳ
Πάντῃ. Πυρήνης ὕδατα μαρτύρια.
Οἷσι γὰρ οὐδὲ πάρος δρυτόμοι ἀπεφαιδρύναντο,
Λουτρὰ καὶ ἠπείρων ἔσσεται ἀμφοτέρων.

665. (14) ΒΙΑΝΟΡΟΣ.

Καύματος ἐν θάμνοισι λαλίστατος ἡνίκα τέττιξ
Φθέγξατο διγλώσσω μελπόμενος στόματι,
Δουνακόεντα Κρίτων συνθεὶς δόλον εἷλεν ἀοιδὸν,
Ἠέρος, οὐκ ἰδίην ἰξοβόλον μελέτην ‡.

† Oram maritimam. ‡ Muſis ſacras fuiſſe Cicadas, ideoque earum capturam vetitam, nota res. Conf. Car. 787.

Ἄξια δ᾽ οὐχ ὁσίης θήρης πάθεν. Οὐ γὰρ ἔτ᾽ ἄλλων
  Πῆξατ᾽ ἐπ᾽ ὀρνίθων εὔστοχον ὡς πρὶν ἄγρην.

666. (15) ΚΡΙΝΑΓΟΡΟΥ.

Οἵους ἀνθ᾽ οἵων οἰκήτορας, ὦ ἐλεεινή,
  Εὕραο. Φεῦ μεγάλης Ἑλλάδος ἀμμορίης·
Ἀστυπαλαίας ἢ χθαμαλωτέρα κεῖσαι, Κόρινθε,
  Κεῖσαι καὶ Λιβυκῆς ψάμμου ἐρημοτέρη,
Ἡ τοίοις διάπασμα παλιμπρήτοισι δοθεῖσα.
  Ὄλβια γ᾽ ἀρχαίων ὀστέα Βακχιάδων. *

667. (16) ΑΝΤΙΠΑΤΡΟΥ.

Στέλλευ ἐπ᾽ Εὐφράτην Ζηνὸς † τέκος. Εἰς σε γὰρ ἤδη
  Ἠῷοι Πάρθων αὐτομολοῦσι πόδες.
Στέλλευ, ἄναξ. Δήεις δὲ φόβῳ κεχαλασμένα τόξα,
  Καῖσαρ. Πατρῴων δ᾽ ἄρξαι ἀπ᾽ ἀντολέων.
Ῥώμην δ᾽ Ὠκεανῷ περιτέρμονα πάντοθεν αὐτὸς
  Πρῶτος ἀνερχομένῳ σφραγίσαι ἠελίῳ.

* Quòd ſc. Civitatis ſuæ excidium non ſpectaverint.
† C. Jul. Cæſaris Fil. Auguſt.

668.

668. (17) ΑΔΑΙΟΥ.

Ταύρῳ Φρικαλέον νάπος ἐκβαίνοντι Δοβήρου
Πευκέστης ἵππῳ καρτερὸς ἠντίασεν.
Ἀλλ᾽ ὁ μὲν ὡρμήθη πρείων ἅτε. Τοῦ δ᾽ ἄρ᾽ ἄλυκτον
Παιονίδα λόγχην ἧκε διὰ κροτάφων.
Συλήσας κεφαλῆς δὲ διπλοῦν κέρας, αἰὲν ἐκείνῳ
Ζωροποτῶν ἐχθροῦ κομπνομεῖ θάνατον.

669. (18) ΚΡΙΝΑΓΟΡΟΥ.

Ἄγχουροι μεγάλαι κόσμου χθόνες, ἃς διὰ Νεῖλος
Πιμπλάμενος μελάνων τέμνει ἀπ᾽ Αἰθιόπων,
Ἀμφότεραι βασιλῆας ἐκοινώσασθε γάμοισιν,
Ἓν γένος Αἴγυπτον καὶ Λιβύην θέμεναι.
Ἐκ πατέρων εἴη παισὶν πάλι τοῖσιν ἀνάκτων
Ἔμπεδον ἠπείροις σκῆπτρον ἐπ᾽ ἀμφοτέραις.

670. (19) ΤΟΥ ΑΥΤΟΥ.

Βίβλων ἡ γλυκερὴ λυρικῶν ἐν τεύχεϊ τῷδε
Πεντὰς ἀμιμήτων ἔργα φέρει χαρίτων,

Δῶρον

Δῶρον δ' εἰς ἱερὴν Ἀντωνίῃ* ἥκομεν ἠῶ,
    Κάλλευς ϗ πραπίδων ἔξοχ' ἐνεγκαμένῃ.

671. (20) ΕΥΗΝΟΥ γραμματικȣ̃.

Ἐχθίστη Μȣ́σαις, σελιδηφάγε, λωβήτειρα
    Φωλὰς, ἀεὶ σοφίης κλέμματα φερβομένη,
Τίπτε κελαινόχρως ἱεραῖς ψήφοισι λοχάζῃ,
    Σίλφη, τὴν φθονερὴν εἰκόνα πλαττομένη;
Φεῦγ' ἀπὸ Μȣσάων, ἴθι, τηλόσε, μηδὲ σὺν ὄψει
    Βάσκανον ἐν ψήφῳ δόξαν ἐπεισαγάγῃ.

672. (21) ΛΕΩΝΙΔΑ ΤΑΡΑΝΤΙΝΟΥ.

Μήτε μακρῇ θαρσέων ναυτίλλεο, μήτε βραχείῃ
    Νηΐ. Κρατεῖ παντὸς δȣ́ρατος εἷς ἄνεμος.
Ὤλεσε ϗ Πρόμαχον πνοιὴ, κολόκυμα δὲ ναύτας
    Ἀθρόον εἰς κοίλην ἐσυφέλιξεν ἅλα.
Οὐ μήν οἱ δαίμων πάντῃ κακὸς, ἀλλ' ἐπὶ γαίῃ
    Πατρίδι ϗ τύμβȣ ϗ κτερέων ἔλαχεν,
Κηδεμόνων ἐν χερσὶν, ἐπεὶ τρηχεῖα θάλασσα
    Νεκρὸν πεπταμένοις θῆκεν ἐπ' αἰγιαλοῖς.

* Intel. Antoniam minorem, Antonii & Octaviæ filiam. Conf. Car. 489.

673. (22) ΑΔΕΣΠΟΤΟΝ.

Χθὼν μὲν ἔχει δέμας ἐσθλὸν, ἔχει κλυτὸν οὐρανὸς ἦτορ
Ἀνδρέω, ὃς Δαύοισι καὶ Ἰλλυρίοισι δικάσσας
Οὐχ ὁσίων κτεάνων καθαρὰς ἐφυλάξατο χεῖρας.

674. (23) ΗΡΙΝΝΗΣ.

Στᾶλαι, καὶ * σειρῆνες ἐμαὶ, καὶ πένθιμε κρωσσὲ,
Ὅστις ἔχεις Ἀΐδα τὰν ὀλίγαν σποδιὰν,
Τοῖς ἐμὸν ἐρχομένοισι παρ' ἠρίον εἴπατε χαίρειν,
Αἴτ' ἀστοὶ τελέθωντ', αἴθ' ἑτέρας πόλιος,
Χὤτι με νύμφαν ἔοισαν ἔχει τάφος, εἴπατε καὶ τὸ,
Χὤτι πατήρ μ' ἐκάλει Βαυκίδα, χὤτι γένος
Τῶν Ἰαμειδῶν ἦν †, καὶ ὅττι μοι ἁ συνεταιρὶς
Ἠρίνν' ἐν τύμβῳ γράμμ' ἐχάραξε τόδε.

* Quæ monumentis ſolebant imponi. Vid. Anthol. Steph. pag. 263. An quod eloquentiam Defuncti ſignificarent, an quod numina luctûs eſſent?

† Ita probè conjecit Reiskius, in Not. ad loc. Edidit ad Exemp. Jenſ. Τηνιδως ειδωντι, vitio manifeſto.

675.

675. (24) ΑΝΤΙΠΑΤΡΟΥ.

Ἤδη μὲν κροκόεις Πιτανατίδι πίτνατο νύμφᾳ
 Κλειναρέτᾳ χρυσέων παςὸς ἔσω θαλάμων,
Καδέμονες δ' ἤλποντο διωλένιον φλόγα πεύκας
 Ἅψειν ἀμφοτέραις ἀνσχόμενοι παλάμαις,
Δημὼ καὶ Νίκιππος. Ἀφαρπάξασα δὲ νοῦσος
 Παρθενικὰν λάθας ἄγαγεν ἐς πέλαγος,
Ἀλγειναὶ δ' ἐκάμοντο συνάλικες οὐχὶ χορείαν,
 Ἀλλὰ τὸν ἀΐδεω ςερνοτυπῆ ἰάλεμον.

676. (25) ΗΡΙΝΝΗΣ.

Νύμφας Βαύκιδός εἰμι, πολύκλαυτον δὲ παρέρπων
 Στάλαν τῷ κατὰ γᾶς τοῦτο λέγοις Ἀΐδᾳ,
* Βάσκανος ἐσσ', Ἀΐδα. Τά γε τοι καλὰ τῷ κοθορῶντι
 Ὄμματα τὰν Βαύκους ἀγγελέοντι τύχαν.
Ὧι τὰν παῖδ', ὑμέναιος ἐφ' ᾇ σχεδὸν ᾔδετο, πεύκᾳ
 Τᾷδ' ἐπὶ κηλείας ἔφλεγε πυρκαϊᾶς.
Καὶ σὺ μὲν, ὦ Ὑμέναιε, γάμων χαρίεσσαν ἀοιδὰν
 Εἰς θρήνων γοερὸν φθέγμα μεθηρμόσαο. * * *

* Venuſti oculi Baucidis puellæ ſignificant eam adeo Orco placuiſſe, ut ipſam raperet. Quæ Veterum erat ſuperſtitio.

677. (26) ΑΔΕΣΠΟΤΟΝ.

Νηϊάδες, καὶ ψυχρὰ βοαύλια ταῦτα, μελίσσαις
    Οἶμον ἐπ' εἰαρινὴν λέξατε νισσομέναις,
Ὡς ὁ γέρων Λεύκιππος ἐπ' ὀρσιπίδεσσι λαγωοῖς
    Ἔφθιτο χειμερίῃ νυκτὶ λοχησάμενος·
Σμήνια δ' οὐκ ἔτι οἱ νομέειν φίλον, αἱ δὲ τὸν ἄκρης
    Γείτονα ποιμενίαι πολλὰ ποθοῦσι νάπαι.

678. (27) ΝΟΣΣΙΔΟΣ.

Ὦ ξεῖν', εἴ τυ γε πλεῖς ποτὶ καλλίχορον Μιτυλήναν,
    Τᾶν Σαπφοῦς χαρίτων ἀγχὺς ἐναυσόμενος,
Εἰπεῖν ὡς Μούσαισι φίλα τήν', ἅ δὲ Λόκρισσα
    Τίκτεν. Ἴσαις δ' ὅτι μοὶ τοὔνομα Νοσσίς. Ἴθι.

679. (28) ΛΕΩΝΙΔΑ ΤΑΡΑΝΤΙΝΟΥ.

Τέλληνος ὅδε τύμβος, ἔχω δ' ὑπὸ βώλακι πρέσβυν
    Τήιον, τὸν πρῶτον γνόντα γελοιομελεῖν.

680. (29) ΧΑΙΡΗΜΟΝΟΣ.

Κλευᾶς, οὔ τυ μοι ἄκλειος ὑπὲρ Θυρέας δόρυ τείνας
    Κάτθανες, Ἀμφιλόχων γᾶν ἀμφιτεμνόμενος.

681. (30) ΘΕΟΔΩΡΙΔΑ.

Δηρίφατον κεύθω Τιμοθένη, υἷα Μολόσσȣ,
Ξεῖνον ἐπὶ ξείνῃ Κεκροπίᾳ φθίμενον.

682. (31) ΑΝΥΤΗΣ.

Ἥβα μὲν σε πρόαρχε ἔσανπαιδων, ἅτε ματρὸς,
Φειδία, ἐν δνοφερῷ πένθει ἔθȣ φθίμενος.
Ἀλλὰ καλόν τοι ὕπερθεν ἔπος τόδε πέτρος ἀείδει,
Ὡς ἔθανες πρὸ φίλας μαρνάμενος πατρίδος.

683. (32) ΦΩΤΙΟΥ πατριάρχȣ.

Ἔρωτα πικρὸν, ἀλλὰ σώφρονα βίον,
Ὁ Κλειτοφῶντος μὲν παρεμφαίνει λόγος,
Ὁ Λευκίππης δὲ σωφρονέςερος βίος
Ἅπαντας ἐξίςησι, πῶς τετυμμένη,
Κεκαρμένη τε καὶ κατηχρειωμένη,
Τὸ δὴ μέγιςον, τρὶς θανȣ̃σ' ἐκαρτέρει.
Εἴπερ δὴ ϗ̀ σὺ σωφρονεῖν θέλεις, φίλος,
Μὴ τὴν πάρεργον τῆς γραφῆς σκόπει θέαν,

Τὴν

Τὴν τῦ λόγυ δὲ πρὸς τὶ συνδρομὴν μάθε,
Νυμφοςολεῖ γὰρ τὺς ποθῦντας ἐμφρόνως.

684. (33) * Εἰς βίϐλον τακτικὴν Ὀρϐικίυ, ἀπὸ ὑπάτων. Ἦν δὲ ἡ βίϐλος ἀπάτημα Ἀδριανῦ Βασιλέως, ἤ, ὡς ἄλλοι τινες, Τραιανῦ Καίσαρος.

Δέρκεο με κρατερῶν καμάτων ἐγκύμονα βίϐλον,
Ἣν πάρος Ἀδριανὸς μὲν ἄναξ ἔχεν ἐν πολέμοισι,
Κρύψε δ' ἀεργείη χρόνον ἄσπετον ἐγγύθι λήθης.
Ἀλλ' ὑπὸ καρτερόχειρος Ἀναςασίυ βασιλῆος
Ἤλυθον εἰς φάος αὖθις, ἵνα ςρατιῇσιν ἀρήξω.
Οἶδα γὰρ ἀνδροφόνυς καμάτυς πολέμοιο διδάσκειν,
Οἶδα δὲ πῶς μετ' ἐμοῖο καὶ ἑσπερίης ἁλὸς ἄνδρας
Καὶ Πέρσας ὀλέσεις, καὶ αἰνομόρυς Σαρακηνὺς,
Καὶ θοὸν ἱπποκέλευθον ἀρειμανέων γένος Οὔννων,
Πετρέων δ' ἐφύπερθεν ἀλυσκάζοντας Ἰσαύρυς.
Πάντα δ' ὑπὸ σκήπτροισιν Ἀναςασίοιο πελάσσω,
Ὃν καὶ Τραιάνοιο φαάντερον ἄγαγεν ἠώς.

* [In Ordinale Urbicii Viri Conſularis, quod fuerat olim peculium & oblectamentum Adriani Imperatoris, aut, ſecundum alios, Trajani Imp.]

685. (34) ΜΟΥΚΙΟΥ ΣΚΕΟΥΟΛΑ.

Αἱ χίμαροι, τί ποτ' ἆρα τὰ μὲν θύμα ϰ̀ τιθύμαλλα
Λείπετε, ϰ̀ χλοερὴν αἰγίνομον βοτάνην,
Ποῖρα δ' ἐπ' ἀλλήλαις σκιρτήματα γαῦρα τίθεσθε,
Ἀμφὶ τὸν ὑλοβάτην ἀλλόμεναι νόμιον;
Οὐκ ἀπὸ πυγμαχίης; Ἀποπαύσατε, μήποτ' ἀπεχθὴς
Ἀντήσῃ κορύνη χειρὸς ἀπ' αἰπολικῆς.

686. (35) ΑΔΕΣΠΟΤΟΝ.

Ἰκάρου ὦ νεόφοιτον ἐς ἠέρα ποτηθέντος,
Ἰκαρίη, πικρῆς τύμβε κακοδρομίης,
Ἄβαλε μήτε σε κεῖνος ἰδεῖν, μήτ' αὐτὸς ἀνεῖναι
Τρίτων Αἰγαίου νῶτον ὕπερ πελάγευς·
Οὐ γάρ σοι σκέπανή τις ὑφόρμισις, οὔτε βόρειον
Ἐς κλίτος, οὔτ' ἄγην κύματος ἐς νοτίην.
Ἔρροις, ὦ δύσπλωτε, κακόξενε, σεῖο δὲ τηλοῦ
Πλώοιμι, συγεροῦ ὅσσον ἀπ' Αἴδεω.

687. (36) ΔΙΟΔΩΡΟΥ τοῦ Γραμματικοῦ.

Ἴστω νυκτὸς ἐμῆς, ἥ μ' ἔκρυφεν, οἰκία ταῦτα
Λαΐνα, Κωκύτου τ' ἀμφιγόητον ὕδωρ,

Οὔ

Οὔ τι μ᾽ ἀνὴρ, ὃ λέγουσι, κατέκτανεν, ἐς γάμον ἄλλης
Παπταίνων γαμετῆς, οὔνομα Ῥουφίνιος.
Ἀλλά με κῆρες ἄγουσι μεμορμέναι. Οὐ μία δήπου
Παῦλα Ταραντίνη κάτθανεν ὠκύμορος.

688. (37. 38) ΑΝΤΙΠΑΤΡΟΥ.

Στρύμονι καὶ μεγάλῳ πεπολισμένον Ἑλλησπόντῳ
Ἠρίον Ἠδωνῆς Φυλλίδος, Ἀμφίπολι,
Λοιπά τοι † Αἰθιόπης Βραυρωνίδος ἴχνια νηὼς
Μίμνει, καὶ ποταμοῦ τἀμφιμάχητον ὕδωρ.
Τὴν δέ ποτ᾽ Αἰγείδαις μεγάλην ἔριν ὡς ἁλιανθὲς
Τρῦχος ἐπ᾽ ἀμφοτέραις δερκόμεθ᾽ ἠϊόσιν.

689. (39) ΠΕΡΣΟΥ.

Δειλαία Μνάσιλλα, τί τοι καὶ ἐπ᾽ ἠρίῳ οὗτος
Μυρομένας κούρας γραπτὸς ἔπεστι τύπος
Νευτίμας; ‡ Ἃς δή ποκ᾽ ἀπὸ ψυχὰν ἐρύσαντο
Ὠδῖνες, κεῖται δ᾽ οἷα κατὰ βλεφάρων

† Nomen Dianæ. Ut ſupr. Car. 515. Quæ & Brauronis dict.
‡ Filiæ ſuæ.

Ἀχλύϊ

Ἀχλύϊ πλημμύρουσα, φίλας ὑπὸ μητρὸς * ἀγοστῷ,
Αἲ, αἲ, Ἀριστοτέλης δ' οὐκ ἀπάνευθε πατὴρ
Δεξιτέρᾳ κεφαλὰν ἐπεμάξατο· κ', ὦ μέγα δειλοὶ,
Οὐδὲ θανόντες ἑῶν ἐξελάθεσθ' ἀχέων.

690. (40) ΛΕΩΝΙΔΑ.

Ἄμπελος ὡς στηλὴ κάμακι, στηρίζομαι αὔῳ
Σκηπανίῳ; Καλέει μ' εἰς ἀΐδην θάνατος.
Δυσκώφει μὴ, Γόργε. Τί τοι χαριέστερον ἢ τρεῖς
Ἢ πίσυρας ποίας θάλψαι ὑπ' ἠελίῳ;
Ὧδ' εἴπας οὐ κόμπῳ † ἀπὸ ζωὴν ὁ παλαιὸς
Ὤσατο, κ' ἐς πλεόνων ἦλθε μετοικεσίην.

691. (41) ΘΕΟΔΩΡΙΔΑ.

Ὤιχευ ἔτ' ἀσκήπων, Κινησία, Ἑρμοῦ λάτρις,
Ἐκτίσων ἀΐδῃ χρεῖος ὀφειλόμενον,
Γήρᾳ ἔτ' ἄρτια πάντα φέρων, χρήστην δὲ δίκαιον
Εὑρών σε στέργει παντοβίης Ἀχέρων.

* Læva vola. † Ut glorioſi Philoſophi.

692. (42) ΑΠΟΛΛΩΝΙΔΟΥ.

Οὐκ ἔτι, Τιμόκλεια, τεῶν φάος ὤλεσας ὄσσων
Κούρους * δυςόκῳ νηδύι-γειναμένη,
Ὄμμασι δ' ἐν πλεόνεσσιν ἀθρεῖς περικαλλὲς ὄχημα
Ἠελίου, προτέρης οὖσα τελειοτέρη.

† 693. 694.

695. (45) ΠΑΛΛΑΔΑ.

Ἄκρας ἣν σεο χερσὶ μυρίπνοον ὄχνην ἔθηκας
Δένδρῳ πόρθον ἐρεῖς σὴν χάριν εἴς σε φέρω.

696. (46) ΔΙΟΔΩΡΟΥ.

Πύργος ὅδ' εἰναλίης ἐπὶ χοιράδος, οὔνομα νήσῳ
Ταὐτὸν ἔχων, ὅρμου σύμβολον εἰμὶ Φάρος.

697. (47) ΚΛΑΥΔΙΑΝΟΥ.

Μαχλὰς εὐκροτάλοισιν ἀνευάζουσα χορείαις
Δίζυγα παλλομένοισι τινάγμασι χαλκὸν ἀράσσει.
Τῆς μὲν ὑποκλέπτων πολιὴν τρίχα γείτονα μοίρης

* Conjicit Reisk. δυςόκῳ ἐν. † Extat Anthol. Steph. p. 278. Alterum unico tantùm verſu conſtat, & habetur alibi.

[Κτεὶς

[Κτεὶς βάπτει, μολίβου παῖς. Ἤδη δ' ἀχλυόεσσα] ‡
Ἠλεμάτοις ἀκτῖσι χαράσσεται ὄμματος αὐγή.
Ψευδόμενον δ' ἐρύθημα κατέγραφεν ἄχροος αἰδὼς,
Ἀγλαΐῃ στέψασα νόθῃ κεκαλυμμένα μῆλα.

698. (48) ΤΟΥ ΑΥΤΟΥ.

Ἕδρην χαλκεόπεζον ἐπὶ προθύροις Ἑλικῶνος
Εἰσήκει θεράπων τις ὑπὲρ νώτοιο μεμαρπὼς,
Οὐδ' ἔθελεν μογέοντι πορεῖν ἐπίβαθρον ἀοιδῷ.
Τοὔνεκά μευ θώρηξε νόον πολύμητις ἀνάγκη.

699. (49) ΕΥΝΟΜΙΑΝΟΥ.

Ἱστορίην ἐτέλεσσα θεοῦ χάρι, χερσὶ σοφῇσι
Πράγματ' ἀληθείας ποικίλ' ὑφηνάμενος.

700. (50) ΤΟΥ ΑΥΤΟΥ.

Γράμματα δώδεκ' ἔχει Φιλοστόργιος, οὔνομα καλὸν,
Τοὔνεκα δὴ κατὰ γράμμα λόγους συνέγραψα τοσούτους,
Ἀρξάμενος πρώτου ἀπὸ γράμματος, εἶτ' ἐνεφεξῆς,
Καὶ διὰ τῆς αὐτῶν ἀρχῆς ἑὸν οὔνομα γράψας.

‡ A Reiskio confictum.

701. (51) ΑΔΗΛΟΝ.

Κωνσταντινιάδης Ἀσκληπιάδης ἄστυ γεραίρων
Γράψεν Ἀναζάρβου πάτρια κυδαλίμης.

702. (52) ΔΙΟΣΚΟΡΙΔΟΥ.

Πέντε κόρας καὶ πέντε Βιτὼ Διδύμωνι τεκοῦσα
Ἄρσενας, οὐδεμιᾶς, οὐδενὸς ὤνατ᾽ ἄπο,
Ἡ μέγ᾽ ἀρίστη δ᾽ οὖσα καὶ εὔτοκος οὐχ ὑπὸ παίδων,
Ὀθνείαις δ᾽ ἐτάφη χερσὶ θανοῦσα Βιτώ.

703. (53) ΣΙΜΩΝΙΔΟΥ.

Ηερίη Γεράνεια κακὸν λέπας. Ὤφελες Ἴστρον
Τῆλε, καὶ ἐν Σκυθέων μακρὸν ὁρᾷν Τάναϊν,
Μὴ δὲ πέλας ναίειν Σκειρωνικὸν οἶδμα θαλάσσης
Αἰνέα, νιφομένας ἀμφὶ Μεθουριάδας.
Νῦν δὲ σὺ μὲν πόντῳ κρυερὸς νέκυς, οἱ δὲ βαρεῖαν
Ναυτιλίην κενεοὶ τῇδε βοῶσι τάφοι.

704. (54) ΔΑΜΑΓΗΤΟΥ.

Καί ποτε Θυμοκλῆς τὰ παρ᾽ ἐλπίδα κήδεα κλαίων
Παιδὶ Λύκῳ κενεὸν τοῦτον ἔχευε τάφον.

Οὐδὲ γὰρ ὀθνείην ἔλαχεν κόνιν, ἀλλά τις ἀκτὴ
 * Νηπιὰς, ἢ νήσων Ποντιάδων τις ἔχει,
Ἔνθ᾽ ὅ γε που πάντων κτερέων ἄτερ ὀστέα φαίνει
 Γυμνὸς ἐπ᾽ ἀξείνου κείμενος αἰγιαλοῦ.

705. (55) ΣΙΜΩΝΙΔΟΥ.

Σῆμα Θεόγνιδός εἰμι Σινωπέος, ᾧ μ᾽ ἐπέθηκεν
 Γλαῦκος ἑταιρείης ἀντὶ πολυχρονίου.

706. (56) ΤΟΥ ΑΥΤΟΥ.

Σῆμα μὲν ἀμοδαπὴ κεύθει κόνις, ἐν δέ σε πόντῳ,
 Κλείσθενες, Εὐξείνῳ μοῖρ᾽ ἔκιχεν θανάτου
Πλαζόμενον, γλυκεροῦ δὲ μελίφρονος οἴκαδε νόστου
 Ἤμβροτες, οὐδ᾽ ἵκευ Χῖον ἐς ἀμφιρύτην.

707. (57) ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Ἑλλανὶς τριμάκαιρα καὶ ἁ χαρίεσσ᾽ Ἀμαμαξὶς
 Ἤστην μὲν πάτρης φέγγεα Λεσβιάδος.
Ὄκκα δ᾽ Ἀθηναίῃσι σὺν ὁλκάσιν ἐνθάδε πλεύσας
 Τὰν Μιτυληναίαν γᾶν ἀλάπαξε Πάχης,

* Bythiniam intellig.

Τᾶν

Τᾶν κȣρᾶν ἀδίκως ἠράσατο, τῶς δὲ συνεύνως
 Ἔκτανε, κ̧ τήναις ςεῖλε βιησόμενος.
Ταὶ δὲ κατ᾽ Αἰγαίοιο ῥόȣ πλατὺ λαῖτμα φερέσθω,
 Καὶ ποτὶ τὴν κραναὰν Μοψοπίαν δραμέτω,
Δάμῳ δ᾽ ἀγγελέτω ἀλιτήμονος ἔργα Πάχητος,
 Μέσφα μιν εἰς ὀλοὴν κῆρα συνηλασάτω.
Τοῖα μὲν ὠ κȣ́ρα πεπονήκατον, ἄψ δ᾽ ἐπὶ πάτραν
 Ἥκετον, ἐν δ᾽ αὐτῷ * κεῖσθον ἀποφθίμεναι,
Ἐκ δὲ πόνων ἀπόνασθον, ἐπεὶ πόσις ἅμα συνεύνων
 Εὔδετον εἰς κλεινᾶς μναμα σαοφροσύνας.
Ὑμνεῦσιν δ᾽ ἔτι πάντες ὁμόφρονας ἡρωΐνας,
 Πάτρας κ̧ ποσίων πήματα τισαμένας.

† 708. (58) ΑΔΕΣΠΟΤΟΝ.

Ἐσχατιαὶ Λιβύων Νασαμώνιδες, ȣ̓κέτι θηρῶν
 Ἔθνεσι νηπείροις νῶτα βαρυνόμεναι,
Οὐκέτ᾽ ἐρειμανίησιν ἐπιπλώσεσθε λεόντων
 Ὠρυγαῖς ψαμάθȣς ἄχρις ὑπὲρ Νομάδων,

* Cum Maritis. † De Leonibus Lybia pulſis, ab imp. Adriano, legas apud Athen. p. 677. Edit. Caſ.

Φῦλον ἐπεὶ ἀνάριθμον ἐν ἰχνοπέδαισιν ἀγρευθὲν
'Ες μίαν αἰχμητὴς Καῖσαρ ἔθηκεν ὀπήν.
Αἱ δὲ πρὶν ἀγραύλων ἐγκοιτάδες ἀκρώρειαι
Θηρῶν, νῦν ἀνδρῶν εἰσὶ βοηλασίαι.

709. (59) ΑΔΗΛΟΝ.

Εἷς ὅδε Νικάνδρου τέκνων τάφος. Ἓν φάος ἀοῦς
Ἄνυσε τὰν ἱερὰν Λυσιδίκας γενεάν.

710. (60) ΑΡΙΣΤΟΔΙΚΟΥ.

Δαμὼ καὶ Μάθυμνα τὸν ἐν τριετηρίσιν ἥρω
Εὔφρονα λυσσατὰν ὡς ἐπύθοντο νέκυν,
Ζωὰν ἀρνήσαντο, τανυπλέκτων δ' ἀπὸ μιτρᾶν
Χερσὶ δερειούχους ἐκρεμάσαντο βρόχους.

711. (61) ΔΙΟΤΙΜΟΥ.

Νύμφιον Εὐαγόρην πολυπένθιμον ἡ Πολυαίνου
Σκυλλὶς ἀν' εὐρείας ἦλθε βοῶσ' ἀγυιάς,
Παῖδα τὸν Ἡγεμάχου, τὸν Ἐφέσιον, οὐδ' ἄρ' ἐκείνη
Χήρη πατρώους αὖθις ἐσῆλθε δόμους

Δαιμονίη,

Δαιμονίη, τριτάτῳ δὲ κατέφθιτο μηνὶ δυσαίων,
 Οὐλομένη ψυχὰν δύσφρονι τηκεδόνι.
Τοῦτο δ' ἐπ' ἀμφοτέροισι πολύκλαυτον Φιλότητος
 Ἕστηκεν λείῃ μνῆμα παρὰ τριόδῳ.

712. (62) ΦΙΛΗΤΑ ΣΑΜΙΟΥ.

Α στάλα βαρύθουσα λέγει τάδε. Τὰν μινύωρον
 Τὰν μικκὰν ἀΐδας ἥρπασε Θειοδόταν.
Χ' ἁ μικκὰ τάδε πατρὶ λέγει πάλιν· ἴσχεο λύπας
 Θειόδοτε. Θνατοὶ πολλάκι δυστυχέες.

713. (63) ΑΔΗΛΟΝ.

Οὔπω τοι πλόκαμοι τετμημένοι, οὐδὲ σελάνας
 Τοὶ τριετεῖς μηνῶν ἀνιοχεῦντο δρόμοι,
Κλεύδικε, Νικασὶς ὅτε σὰν περὶ λάρνακα μάτηρ
 Τλῆμον, ἐπ' αἰακτῷ πόλλ' ἐβόα στεφάνῳ,
Καὶ γενέτας Περίκλειτος· ἐπ' ἀγνώστῳ δ' Ἀχέροντι
 Ἡβάσεις ἥβαν, Κλεύδικ', ἀγνωστοτάταν.

714. (64) ΑΠΟΛΛΩΝΙΔΟΥ.

Σύρου καὶ Δήλοιο κλύδων μέσος ἦα Μενοίτην
  Σὺν φόρτῳ Σαμίου κρύψε Διοφανέος,
Εἰς Ἄσιαν σπεύδοντα πλόου τάχος, ἀλλὰ θάλασσα
  Ἐχθρὴ καὶ νῆσοι παῦσαν ἐπειγόμεναι·

715. (65) ΣΙΜΩΝΙΔΟΥ.

Τούσδ' ἀπὸ Τυῤῥηνῶν ἀκροθίνια Φοίβῳ ἄγοντας
  Ἓν πέλαγος, μία ναῦς, εἷς τάφος ἐκτέρισεν.

716. (66) ΕΥΦΟΡΙΩΝΟΣ.

Οὐχὶ ῥάκος σέο φαιὸν ἐπ' ὀστέα κεῖνα καλύπτει,
  Οὐδ' ἡ κυανέου γράμμα λαβοῦσα πέτρη.
Ἀλλὰ τὰ μὲν δολιχῆς τε καὶ αἰπεινῆς Δρακάνοιο
  Ἰκάριον ῥήσσει κῦμα περὶ κροκάλαις.
Ἀντὶ δ' ἐγὼ ξενίας πολυκήδεος ἡ κενὴ χθὼν
  Ὠγκώθην Δρυόπων διψάσιν ἐν βοτάναις.*

* Sc. Campis.

*717. (67) ΑΔΔΑΙΟΥ.

Ἰνδὴν βήρυλλόν με Τρόφων ἀνέπεισε γαλήνην
 Εἶναι, καὶ μαλακαῖς χερσὶν ἀνῆκε κύμα.
Ἠνίδε καὶ χείλη νοτερὴν πλείοντα θαλάσσην,
 Καὶ μαστοὺς, τοῖσιν θέλγω ἀνηνεμίην.
Ἢν δέ μοι ἡ φθονερὴ πνεύσει λίθος, ὡς ἐν ἑτοίμῳ
 Ὥρμημαι γλώσσῃ καὶ τάχα νηχομένῃ.

718. (68) ΑΝΤΙΦΙΛΟΥ.

Κὴν πρύμνῃ λαχέτω μέ ποτε στιβὰς, ἅ θ' ὑπὲρ αὐτὴν
 Ἠχεῦσαι ψακάδων τύμματι διφθερίδες.
Καὶ πῦρ ἐκ μιλάκων βεβιημένον, ἥ τ' ἐπὶ τούτῳ
 Χύτρη, καὶ κενεὸς πομφολύγων θόρυβος,
Κήρυγγῶντ' ἐπίδοιμι διήκονον, ἡ δὲ τράπεζα
 Ἔστω μοι ἡ πρώτη νηὸς ὕπερθε σανίς.
Δὸς, λάβε, καὶ ψιθύρισμα τὸ ναυτικόν. Εἶχε τύχη τις
 Πρώην τοιαύτη τὸν φιλόκοινον ἐμέ.

* Primæva ſimplicitate, ne dicam communi ſenſu, deſtitutum carmen, obſcurum, turgidum. Alius forſan eſt Addæus Auctor Car. 668.

719. (69) ΑΝΤΙΦΙΛΟΥ.

Κολχὸς τὸν δύςηνον ἐρώδιον ἐχθρὰ κολάζει.
Τοῦ χάριν ὁ προδότης ὄρνις ἀεὶ λέγεται;
Φοῖβος ἐρεῖ. * * γειτον᾽ ὅτ᾽ εἰς ἅλα κῶλον ἐλαφρὸν
Στήσας ψαμμίτην δόρπον ἐθημολόγει,
Δυσμῆνέες ποτ᾽ ἔβησαν ἐπὶ πτόλιν ἀντιπέρηθεν
Ὀψὲ διδασκόμενοι πεζοβατεῖν πέλαγος.
Βάλλετε δὴ κακὸν ὄρνιν, ἐπεὶ βαρὺν ἤρατο μισθὸν
Ἐκδηῶν Κυλχοὺς καὶ Βρίον ὁ προδότης.

720. (70) Εἰς Ἀλκαῖον. *

Ἀλκαίου τάφος οὗτος, ὃν ἔκτανεν ἡ πλατύφυλλος
Τιμωρὸς μοίχων, γῆς θυγάτηρ, ῥάφανος.

721. (71) Εἰς Σαπφώ.

Οὐ γὰρ σοί γε ὀλίζον ἐπὶ κλέος ὤπασε Μοῖρα
Ἤματι, τῷ πρώτῳ φῶς ἴδες ἀελίου,
Σαπφοῖ, σοῖ γὰρ κλῆσιν ἐνείμαμεν ἄφθιτον εἶμεν,
Σὺν δ᾽ ὁ πατὴρ πάντων νεῦσεν ἐρισμάραγος.

* Comicum, non Lyricum.

Μέλψεαι ἐν πάντεσσιν ἀοίδιμος ἀμερίοισιν,
Οὐδὲ κλυτᾶς φάμας ἔσσεαι ἠπεδανά.

722. (72) Εἰς Ὅμηρον.

Ἰλιὰς, ὦ μέγα ἔργον, Ὀδυσσέης τε τὸ σῶφρον
Γράμμα, τὸ καὶ Τροίῃ θῆκεν ἴσην Ἰθάκην,
Τόν με γέροντ' αὔξοιτ' εἰς ἀεὶ νέον. Ἡ γὰρ Ὁμήρου
Σειρὴν ἡμετέρων ῥεῖται ἀπὸ στομάτων.

723. (73) ΠΑΛΛΑΔΑ.

Χριστιανοὶ γεγαῶτες Ὀλύμπια δώματ' ἔχοντες
Ἐνθάδε ναιετάουσιν ἀπήμονες. οὐδὲ γὰρ αὐτοὺς
Χώνη φόλλιν ἄγουσα φερέσβιον ἐν πυρὶ θήσει.

724. (74) Εἰς Ἰσαύρους.

Αὔραις ἴσα θέουσιν, ὅθεν λάχον οὔνομα τοῦτο.

725. (75) Εἰς κολόκυνθον.

Εἰπέ μοι, ὦ κολόκυνθε, τίνος χάριν εἰσέτι καὶ νῦν
Οὐ σικύων ἐφάνη ἱερὸν γένος, οὐ κολοκύνθων:

Ὁ κολόκυνθος πρὸς ταῦτα.

Ζηνὸς ἐπομβρήσαντος ἐπεκλύσθησαν ἄρουραι,
Ἡμετέρην δ' ἀέκουσαν ἐπικύπτουσι γενέθλην.

726. (76) Εἰς τὸν ἀπὸ κόντου κατερχόμενον θηριομάχον.

Κόντον ἀνὴρ κατέπηξε, δέμας δ' εἰς ἠέρα ῥίψας
Ἰδνώθη προκάρηνος, ἀνεγρομένοιο δ' ὑπαίθεν
Θηρὸς ὑπερκατέβαινεν ἐϋστρέπτοισι πόδεσσιν,
Οὐδὲ λάβεν. Λαοὶ δὲ μέγ' ἴαχον, ἔκφυγε δ' ἀνήρ.

727. (77) ΚΡΙΝΑΓΟΡΟΥ.

Θάρσει καὶ πετόρεσσι διαπλασθέντα προσώποις
Μῦθον καὶ τούτων γράψαι ἔτι πλέοσιν.
Οὔτε σε γὰρ λείψουσι * Φιλωνίδου, οὔτε Βαθύλλου,
Τοῦ μὲν ἀοιδάων, τοῦ δὲ χεροῖν χάριτες.

728. (78) ΦΙΛΙΠΠΟΥ.

Θεσσαλίης εὔιππος ὁ ταυρελάτης χορὸς ἀνδρῶν
Χερσὶν ἀτευχήτοις θηρσὶν † ὁπλιζόμενος,

† Tauris feris. * De Philonide, cantore ſiletur: carus erat hiſtrio Bathyllus Auguſto & Mæcenati.

Δενδρο-

Δενδροτυπεῖ πώλους ζεῦξε σκιρτήματι παύρων
  Ἀμφιβαλεεῖν σπεύδων πλέγμα μετωπίδιον.
Ἀκρότατον δ' εἰς γῆν κλίνας ἅμα κ' εὔροπον ἅμμα
  Θηρὸς τὴν πόσσην ἐξεκύλισσε βίην.

729. (79) ΑΝΤΙΠΑΤΡΟΥ.

Καὶ Μακεδὼν ὁ σίδηρος ἐν ἄορι, καὶ τὰ πρὸς ἀλκὴν
  Τῆς ἀπ' Ἀλεξάνδρου χειρὸς ἐπιστάμενος,
Πείσων, σὴν ποθέων ἱκόμην χέρα, τοῦτο δὲ φωνῶ
  Χαίρων, δεξιτέρην εὗρον ὀφειλομένην.

730. ΤΟΥ ΑΥΤΟΥ.

Λευκάδος ἀντί με Καῖσαρ, ἴδ' Ἀμβρακίης ἐριβώλου
  Θυρρείου τε πέλειν, ἀντί τ' Ἀνακτορίου,
Ἀργέος Ἀμφιλόχου τε καὶ ὁππόσα ῥαίσατο κύκλῳ
  Ἄστε' ἐπιθρώσκων δουρομανὴς πόλεμος,
Εἵσατο Νικόπολιν, θείην πόλιν, ἀντὶ δὲ νίκης
  Φοῖβος ἄναξ ταύτην δέχνυται Ἀκτιάδος.

731. (80) ΑΡΓΕΝΤΑΡΙΟΥ.

Λαιδροῖς, Ἡράκλεια, καλοὺς ὑπὸ χείλεσιν ἕλκεις.
Κεῖνο πάλαι κατὰ σῶ πᾶσ' ἐβόησε πόλις,
Πῶς ἔτλης † τόσσον ῥέξαι κακόν; Ἤ σε βιαίως
Εἵλκυσέ τις θαλερῶν δραξάμενος πλοκάμων.
Ἤ σοι τοὔνομα τερπνὸν ἀφ' Ἡρακλῆος ἐχούσῃ,
Μαχλὲ, φιλεῖν ἥβην κέκριται ἠϊθέων.

732. (81) ΚΡΙΝΑΓΟΡΟΥ.

Νῆσον, τὴν, εἰ χ' οἵ με περιγράψαντες ἐροῦσιν
Μετρῆσαι βαιὴν, ἑπτὰ μόνον σταδίους,
Ἔμπης καὶ τίκτουσαν ἐπαύλακα, πῖαρ ἀρότρου,
Ὄψει, καὶ παντὸς κάρπιμον ἀκροδρύου,
Καὶ πολλοῖς εὔαγρον ὑπ' ἰχθύσι, καὶ ὑπὸ μαίρην
Εὐάνεμον, λιμένων δ' ἤπιον ἀτρεμίῃ,
Ἀγχόθι Κορκύρης Φαιηκίδος. Ἀλλὰ γελᾶσθαι
Τῷ ἔπι ὡρίσθην, τοῦτ' ἐθέμην ὄνομα. *

* Suppl. Reiskius. † Σύσσοτα. Sc. Harum porcorum. Inter Epirum & Corcyram.

733. (82) ΚΡΙΝΑΓΟΡΟΥ.

Καὶ αὐτὴ δ' ἤχλυσεν ἀκρέσπερος ἀντέλλουσα
Μήνη * πένθος ἑὸν νυκτὶ καλυψαμένη,
Οὕνεκα δὴ χαρίεσσαν ὁμώνυμον εἶδε Σελήνην
Ἄπνουν εἰς ζοφερὸν δυσομένην ἀΐδην.
Κείνῃ γὰρ καὶ κάλλος ἑοῦ κοινώσατο φωτὸς,
Καὶ θάνατον κείνης δεῖξεν ἑῷ νέφεϊ.

734. (83) ΤΟΥ ΑΥΤΟΥ.

Ποιμὴν, ὦ μάκαρ, εἴθε κατ' οὔρεος ἐπροβάτευον
Κἠγὼ ποιηρὸν τοῦτ' ἀνὰ λευκόλοφον,
Κριοῖς ἀγητῆρσι ποτ' ἐβληχημένα βάζων,
Πρὶν πικρῇ βάψαι νηόχα πηδάλια
Ἅλμῃ. Τοίγαρ ἔδυν ὑποβένθιος, ἀμφὶ δὲ ταύτην
Θῖνα με ῥοιβδήσας εὖρος ἐφωπλίσατο.

735. (84) ΤΟΥ ΑΥΤΟΥ.

Παίδων ἀλλαχθέντι μόρῳ ἔπι ταῦτ' ἐλεεινὴ
Μήτηρ ἀμφοτέρους εἶπε στειχομένη.

* Nova Luna.

Καὶ

Καὶ νέκυν οὐ σέο, τέκνον, ἐπ' ἤματι τῷδε γοήσειν
Ἤλπισα, καὶ ζώοις οὐ σε μελεασυμένον
Ὄψεσθαι. Νῦν δ' οἱ μὲν ἐς ὑμέας ἠμείφθησαν
Δαίμονες, ἄψαυστον δ' ἵκετο πένθος ἐμοί.

736. (85) ΑΝΤΙΠΑΤΡΟΥ.

Ῥιγηλὴ ναύταις ἐρίφων δύσις. Ἀλλὰ Πύρωνι
Πολλὰ γαληναίη κύματος ἐχθροτέρη.
Νῆα γὰρ ἀπλοΐη πεπεδημένην ἔφθασεν ἀκτὶς
Ληϊστέων ταχινὴ δίκροτος ἐσσυμένη.
Χεῖμα δέ μιν προφυγόντα γαλήνη αἰνῷ ὑπ' ὀλέθρῳ
Ἔκτανεν. Ἆ λυγρῆς, δειλὲ, κακορμισίης.

737. (86) ΔΙΟΣΚΟΡΙΔΟΥ.

Τῆς Σαμίας τὸ μνῆμα Φιλαινίδος, ἀλλὰ προσειπεῖν
Τλῆθί με, καὶ στήλης πλησίον, ὦ 'νερ, ἴθι.
Οὐκ εἰμ' ἡ τὰ γυναιξὶν ἀναγράψασα προσάντη
Ἔργα, καὶ αἰσχύνην οὐ νομίσασα θεὸν,
Ἀλλὰ φιλαιδήμων, ναὶ ἐμὸν τάφον. Εἰ δέ τις ἡμέας
Αἰσχύνων λαμυρὰν ἔπλασεν ἱστορίαν,

Τοῦ

Τοῦ μὲν ἀναπτύξαι χρόνος οὔνομα, ταὶ μὰ ἢ λυγρὰν
 Ὀσία περφθείη κληδὸν' ἀπωσαμένης.

* 738.

739. (88) ΑΡΙΣΤΩΝΟΣ.

Ἀμπελὶς ἡ φιλάκρητος, ἐπὶ σκήπωνος ὁδηγοῦ
 Ἤδη τὸ σφαλερὸν γῆρας ἐρειδομένη,
Λαθριδίη Βάκχοιο νεοθλιβὲς ἦλθ' ἀπὸ ληνοῦ
 Πῶμα πιεῖν κύκλῳ πλησαμένη κύλικα.
Πρὶν δ' ἀρύσαι μογέραν ἔκαμεν χέρα, γραῦς δὲ, παλαιὴ
 Ὡς ναῦς, ὑποβρυχίη ζωρὸν ἔδυ πέλαγος.
Εὐτέρπη δ' ἐπὶ τύμβον ἀποφθιμένης θέτο σῆμα
 Λαΐνον, οἰνηρῶν γείτονα θηλοπέδων.

† 740. (89) ΚΑΛΛΙΜΑΧΟΥ.

Τὴν Φρηγίην Αἴσχρην ἀγαθὸς Γαλάταισιν ἐν ἐσθλοῖς
 Μίκκος καὶ ζωὴν οὖσαν ἐγηροκόμει,
Κτὴ φθιμένην συνέθηκεν ἐπεσσομένοισιν ὁρᾶσθαι,
 Ἡ γρῆυς μασθῶν ὡς ἀπέχει χάριτας.

* Inter Callimachi legitur: & Anthol. St. App. pag. 510.

† Extat inter Callimachea. Sed mendoſe.

741. (90) ΙΟΥΛΙΑΝΟΥ ΑΙΓΥΠΤΙΟΥ.

Αὐτὸς ἄναξ νεμέσησε πολυφλοίσβοιο θαλάσσης
Κύμασιν Ὑπατίȣ σῶμα καλυψαμένοις.
Ἤθελε γάρ μιν ἔχειν γέρας ὕςατον, οἷα θανόντα,
Καὶ μεγαλοφροσύνης κρύψε θάλασσα χάριν.
Ἔνθεν, πρηϋνόȣ κραδίης μέγα δεῖγμα, φαεινὸν
Τίμησεν κενεῷ σήματι τῷδε νέκυν.

742. (91) ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Ἀτλικὸς εἰς ξυνὴν με παναγρέος ἐλπίδα μοίρης
Θυμῷ θαρσαλέῳ ζῶν ἐλάχηνε τάφον,
Παίζων ἐξ ἀρετῆς θανάτȣ φόβον. Ἀλλ' ἐπὶ δηρὸν
Ἠέλιος σοφίης μιμνέτω ἠελίῳ.

* 743. 744.

745. (94) ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Καλλιγένευς Διόδωρον Ὀλύνθιον ἴσθι θανόντα
Ἐν λιμένι πρώρης νύκτερον εκχυμένον,

* Omiſimus. Extant apud Diog. Laert. pag. 58, 60.

Δαιτὸς

Δαιτὸς ἐπεὶ τὸ περισσὸν ἀπήμεεν. Α πόσιν ὕδωρ
 Ὤλεσε τὸν πόσσῳ κεκριμένον πελάγει.

746. (95) ΣΙΜΩΝΙΔΟΥ.

Σῆμα καταφθιμένοιο Μεγακλέος εὖτ᾽ ἂν ἴδωμαι,
 Οἰκτείρω σε, τάλαν Καλλία, οἷ᾽ ἔπαθες.

747. (96) ΤΟΥ ΑΥΤΟΥ.

Αἰδὼς καὶ Κλεόδαμον ἐπὶ προχοῇσι Θεαίρου
 Ἀενάου στονόεντ᾽ ἤγαγεν εἰς θάνατον,
Θρηϊκίῳ κύρσαντα λόχῳ, πατρὸς δὲ κλεινὸν
 Διφίλου αἰχμητὴς υἱὸς ἔθηκ᾽ ὄνομα.

748. †

749. (88) ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΥ.*

Αὐτά τοι πρέσσαντι παρὰ χρέος ὤπασεν ᾅδαν,
 Βαψαμένη κοίλων ἐντὸς ἄρη λαγόνων,

† Extat inter Callimachea.

* Edidit, quod in Comment. haud notat Cl. Reiskius, In Præfat. Carm. Sepulcral. Leichius p. 13. Et Rhunken. Epiſt. Crit. 1. p. 37, 38. Et Weſſeling. ad Diodor. Sic. pag. 232. vol. 2. Ubi videſis eorundem conjecturas.

Μάτηρ, ἅ σ᾽ ἔτεκεν, Δαμάτριε, φᾶ καὶ σίδηρον
  Παιδὸς ἑοῦ φύδραν μεστὸν ἔχουσα φόνου,
Ἀφριόεν κοναβηδὸν ἐπιπρίουσα γένειον,
  Δερκομένα λοξαῖς, οἷα λάκαινα, κόραις·
Λεῖπε τὸν Εὐρώταν, ἴθι τάρταρον, ἁνίκα δειλὰν
  Οἶσθα. φυγὼν τελέθεις οὔτ᾽ ἐμὸς, οὔτε Λάκων.

750. (99) ΔΙΟΝΥΣΙΟΥ.

Καὶ Διῒ καὶ Βρομίῳ με διάβροχον οὐ μέγ᾽ ὀλισθεῖν,
  Καὶ μόνον ἐκ δοιῶν, καὶ βροτὸν ἐκ μακάρων.

751. (100) ΑΔΕΣΠΟΤΟΝ.

Εἴπε, ποτὶ Φθίην εὐάμπελον ἤν ποθ᾽ ἵκηαι
  Καὶ πόλιν ἀρχαίαν, ὦ ξένε, Θαυμακίαν,
Ὡς δρυμὸν Μαλεαῖον ἀναστείβων ποτ᾽ ἔρημον
  Εἶδες Λάμπωνος τόνδ᾽ ἐπὶ παιδὶ τάφον,
Δερξίᾳ, ὅν ποτε μοῦνον ἕλον δόλῳ, οὐδ᾽ ἀναφανδὸν,
  Κλῶπες ἐπὶ Σπάρταν δίαν ἐπειγόμενον.

752. (101) ΜΑΡΙΝΟΥ.

Ἀθανάτοισι θεοῖς κεχαρισμένα πάντοτε ῥέζων
Καὶ τάδ᾽ ἐπ᾽ εὐσεβέοντι νόῳ συνέγραψε Μαρῖνος.

753. (102) ΛΕΟΝΤΟΣ ΦΙΛΟΣΟΦΟΥ.

Βίβλος μηχανική, Κυρῖνος δέ μιν ἐξεπόνησε,
Μαρκέλλου γνωτοῖο συνερχομένου κατὰ μόχθον.

754. (103) ΤΟΥ ΑΥΤΟΥ.

Θέσφατα μαντῴης Φοιβήϊδος ὄργια τέχνης
Ἀστρολόγων Παῦλος μ' ἐδιδάσκετο κύδιμος ἀνήρ.

755. (104) ΤΟΥ ΑΥΤΟΥ.

Βίβλος Θέωνος καὶ Πρόκλου τῶν πανσόφων,
Βίβλος πόλου τε καὶ χθονὸς φέρει μέτρα·
Πρόκλος μὲν οὖν γῆν καὶ Θέων μετρεῖ πόλον,
Ἀμφὼ δ' ἐπ' ἴσης τῶν ἐπαίνων ἄξιοι,
Ἀμφὼ δ' ἀμοιβὴν τῷ λόγῳ τετεύχατε.
Θέων Πρόκλου μὲν λαμβάνων σοφὰς θέσεις
Δείκνυσι ταύταις τοὺς δόμους τῶν ἀστέρων.
Πρόκλος δὲ δείξεις τοῦ Θέωνος λαμβάνων
Ταύταις Ἀναλύει καὶ προβάλλει τὰς θέσεις.
Ἀλλ' ὦ σοφὴ ξυνωρὶ χαῖρέ μοι λίαν.
Χαίροις Θέων ἄριστε, πάνσοφον κάρα,

Ὁ νῦν πυκάζων τὴν Ἀλεξάνδρου πόλιν.
Χαίροις δὲ καὶ σὺ Πρόκλε τῶ Σαρπηδόνος
Ἄριστον αἷμα τοῖς ὅλοις βοώμενον.

756. (105) ΑΔΗΛΟΝ.

Τίπτε μετοκλάζεις πωτωμένη ὄζον ἀπ' ὄζου;
Τοῖα καὶ ἄλλη ἔρεξε, καὶ οὐ φύγεν ἰξοφορῆας
Ἡμετέρους δόνακας, περὶ δὲ πτερὰ πυκνὰ βαλοῦσα
Ἤλυθε τεχνήεντα καὶ οὐκ ἐθέλουσα πρὸς ἄνδρα.

757. (106) ΑΣΚΛΗΠΙΑΔΟΥ.

* Λύδη καὶ γένος εἰμὶ καὶ οὔνομα. Τῶν δ' ἀπὸ Κόδρου
Σεμνοτέρη πασῶν εἰμὶ δι' Ἀντίμαχον.
Τίς γάρ ἐμ' οὐκ ἤεισε, τίς οὐκ ἀνελέξατο Λύδην,
Τὸ ξυνὸν Μουσῶν γράμμα καὶ Ἀντιμάχου;

758. †

759. (108) ΑΡΧΙΟΥ νεωτέρου.

Ἑρμῆ Κωρύκου ναίων πόλιν, ὦ ἄνα χαίροις
Ἑρμῆ, καὶ λιτῇ προσγελάσαις θυσίῃ.

* In Lydam Antimachi, Carmen Elegiacum, *Lyda* dictum.
† Extat Antholog. Steph. p. 368.

760.

760. (109) ΑΛΦΕΙΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ.

Νηῶν ὠκυπόρων ὃς ἔχεις κράτος, ἵππιε δαῖμον,
Καὶ μέγαν Εὐβοίης ἀμφικρεμῆ σκόπελον,
Οὔριον εὐχομένοισι δίδου πλόον Ἄρεος ἄχρι
Ἐς πόλιν*, ἐκ Συρίης πείσματα λυσαμένοις.

761. (110) ΣΤΑΤΥΛΛΙΟΥ ΦΛΑΚΚΟΥ.

Οἰδίποδες δισσοί τε, καὶ Ἠλέκτρη βαρύμηνις,
Καὶ δείπνοις ἐλαθεὶς Ἀτρέος ἠέλιος,
Ἄλλα τε πουλυπαθέσσι, Σοφόκλεες, ἀμφὶ τυράννοις
Ἄξια τῆς Βρομίου βύβλα χοροιτυπίης,
Ταγόν σε τραγικοῖο κατήνυσαν θιάσοιο,
Αὐτοῖς ἡρώων φθεγξάμενον στόμασι.

762. (111) ΔΙΟΤΙΜΟΥ.

Κλεινόνυμοι δύο γρῆες ὁμήλικες ἦμεν, Ἀναξὼ
Καὶ Κλεινὼ, δίδυμοι παῖδες Ἐπικράτεος.
Κλεινὼ μὲν Χαρίτων ἱερὴ, Δημητρὶ δ' Ἀναξὼ
Ἐν ζωῇ πρόπολος. Ἐννέα δ' ἠελίων

* Romam.

Ὀγδω-

Ὀγδωκονταετεῖς ἐπελείπομεν ἐς τόδ᾽ ἱκέσθαι
Τῆς μοίρης. Ἐτέων οὐ φθόνος ἰσσότῃ.
Καὶ πόσιας καὶ τέκνα φιλήσαμεν, αἱ δὲ παλαιαί,
Πρῶθ᾽, ἡμεῖς ἀΐδην πρᾳὼ ἀνηράμεθα.

763. (112) ΑΔΗΛΟΝ.

Ὦ ξέν᾽ ὁδῖτα. Τί δ᾽ ἐστί; Τί γάρ; νέκυς, ᾧ πολὺ παίδων
Τῶν ἀγαθῶν χορὸς ἦν, Ἀρχιγέρων ὁ γέρων.
Ἀλλὰ φίλος γ᾽ ὦ πρέσβυ, γένοιτό τοι ὄλβια τέκνα
Ἐλθεῖν καὶ λευκῆς εἰς δρόμον ἡλικίης.

764. (113) ΛΕΩΝΙΔΟΥ ΤΑΡΑΝΤΙΝΟΥ.

Μὴ φθείρευ, ἄνθρωπε, περιπλάνιον βίον ἕλκων,
Ἄλλην ἐξ ἄλλης εἰς χθόν᾽ ἀλινδόμενος.
Μὴ φθείρευ, κενεή σε περιστέψασα καλιὴ
Εἰ θάλπῃ, μικκὸν πῦρ ἀνακαιόμενον.
Εἰ καί σοι λιτή τε καὶ οὐκ εὐάλφιτος εἴη
Φύσῃ ἐνὶ γρώνῃ μασσομένῃ παλάμαις,
Ἢ καί σοι γλήχων ἢ καὶ θύμον ἢ καὶ ὁ πικρὸς
Ἁδυμιγὴς εἴη χόνδρος ἐπωψίδιος.

765. (114) ΦΑΙΔΙΜΟΥ.

Αἰάζω Πολύανθον, ὃν εὐνέτις, ὦ παραμείβων,
  Νύμφιον ἐν τύμβῳ θῆκεν Ἀρισταγόρη
Δεξαμένη σποδιήν τε καὶ ὀστέα. Τὸν δὲ δυσαὲς
  Ὤλεσεν Αἰγαίου κῦμα περὶ Σκίαθον,
Δύσμορον, ὀρθρινοί μιν ἐπεὶ νέκυν ἰχθυβολῆες,
  Ξεῖνε, Τορωναίων εἵλκυσαν εἰς λιμένα.

766. (115) ΑΠΟΛΛΩΝΙΔΟΥ.

Γλῆνιν παρηονῖτις ἀμφέχω χερμὰς,
Πικρῇ κατασπασθέντα κύματος δίνῃ,
Ὅτ' ἰχθύαζετ' ἐξ ἀκρῆς ἀπόρρωγος.
Χῶσαν δέ μ' ὅσσος λαὸς ἦν συνεργέτης.
Πόσειδον, οὓς σὺ σῶζε. Καὶ γαληναίην
Αἰὲν διδοίης ὁρμιηβόλοις θῖνα.

767. (116) ΑΔΔΑΙΟΥ.

Ἣν παρίῃς ἥρωα, Φιλοπρήγμων ὅ γ' καλεῖται,
  Πρόσθε Ποτιδαίης κείμενος ἐν τριόδῳ,

Εἰπεῖν

Εἰπεῖν οἷον ἐπ' ἔργον ἄγεις πόδας. Εὐθὺς ἐκείνου
Εὑρήσεις ἐν σοὶ πρήξιος εὐκολίην.

768. (117) ΧΡΙΣΤΟΔΩΡΟΥ.

Κλυτὸς Ἰωάννης Ἐπιδάμνιος ἐνθάδε κεῖται,
Τηλεφανὴς ὑπάτων κόσμος ἀριφανέων,
Ὁ γλυκύ μοι Μουσέων πετάσας φάος, ὁ πλέον ἄλλων
Εὐρυνας ξενίου δαίμονος ἐργασίην,
Παμφόρβην παλάμην κεκτημένος, ἥτινι μούνη
Οὐκ ἴδε δωτίνης μέτρον ὁριζόμενον.
Αἰπυτάτην δ' ἤυξησε νόμοις πατρίοισιν ἀπήνην,
Φαιδρύνας καθαρῆς ἔργα δικαιοσύνης.
Ὦ πόποι, οὐκ ἔζησε πολὺν χρόνον, ἀλλ' ἐνιαυτοὺς
Μοῦνον ἀναπλήσας τεσσαράκοντα δύο,
Ὤχετο μουσοπόλοισι πόθην πάντεσσιν ἐάσας,
Οὓς ἐπόθει πατέρων βέρτερα γειναμένων.

769. (118) ΘΑΛΟΥ ΜΙΛΗΣΙΟΥ.

Ἁ χλοερὰ πλατάνιστος ἴδ' ὡς ἔκρυψε φιλεύντων
Ὄργια, τὰν ἱερὰν φυλλάδα τεινομένα.

Ἀμφὶ

Ἀμφὶ δ' αὖ ἀκρεμόνεσσιν ἑοῖς κεχαρισμένος ὥραις
Ἡμερίδος λαρῆς βότρυς ἀποκρέμαται.
Οὕτως, ὦ πλατάνιστε, φύοις, χλοερὰ δ' ἀπὸ σεῖο
Φυλλὰς ἀεὶ κεύθοι τοὺς Παφίης ἑτάρους.

770. (119) ΟΝΕΣΤΟΥ.

Ἀσωπὶς κρήνη καὶ Πηγασίς, ὕδατ' ἀδελφὰ,
Ἵππου τοῦ πτανοῦ δῶρα ποδοῤῥαγέα,
Χὼ μὲν ἔκοψ' Ἑλικῶνος, ὁ δὲ φλέβας Ἀκροκορίνθου
Ἔπληξ'. Ὦ πτέρνης εἰς ἴσον εὐστοχίη.

* 771.

772. (121) ΒΙΑΝΟΡΟΣ.

Ἀκταίην παρὰ θῖνα διαυγέος ἔνδοθεν ἅλμας
Ἰχθύα πουλυπόδην ἔδρακεν ἰχθυβόλος.
Νηχομένῳ δ' ἐπόρουσε, καὶ ἐξ ἁλὸς ἧκ' ἐπὶ χέρσον
Ἁρπάγδην, ἄγρης δεσμὸν ὑποφθάμενος.
Αὐτὰρ ὁ δισκευθεὶς κατακαίριος ἔμπεσε δειλῷ
Πτωκὶ παχυσκωίῳ. Κεῖτο γὰρ ὑπναλέος.

* Extat Antholog. Steph. p. 85.

Τὸν δὲ χυθεὶς περὶ πάντα πεδήσατο. Φῶτι δ' ἐπ' ἄγρην
 Ἐμβυθίην ἄγρη χερσόθεν ἠντίασεν.

773. (122) ΚΑΛΛΙΜΑΧΟΥ. *

Ἀνίδε καὶ σὺ γὰρ ὧδε, Μενέκρατες Ἀσυπαλαιεῦ.
 Οἶσθα τὶς, ὦ ξεῖν', ἦν, ὅς σε κατειργάσατο;
Ἥρπατο καὶ κένταυρον, ὃ μοι πεπρωμένος ὕπνος
 Ἦλθεν. Ὁ δὲ τλήμων οἶνος ἔχει πρόφασιν.

774. (123) ΛΕΩΝΙΔΑ.

Ἑσπέριον κ' ἠῷον ἀνώσατο πολλάκις ὕπνον
 Ἡ γρηῢς πενίην Πλατθὶς ἀναινομένη.
Καί τι πρὸς ἠλακάτην καὶ τὸν συνέριθον ἄτρακτον
 Ἤισεν πολιοῦ γήραος ἀγχὶ θυρῶν.
Νύκτα παρισίδιος δινευμένη ἄχρις ἀπ' ἠοῦς
 Κεῖνον Ἀθηναίης τὸν κροκίσιν δολιχόν.

775. (124) ΤΟΥ ΑΥΤΟΥ.

Ἡ ῥικνὴ ῥικνοῦ περὶ γούνατος ἄρκιον ἰσῶ
 Χειρὶ στρογγύλλουσ' ἡμερεύουσε κρόκην,

* Hodie non proſtat apud Callimachea:

Ὀγδω-

Ὀγδωκονταέτις δ' Ἀχερούσιον ἤϋγασεν ὕδωρ
Ἡ καλὰ καὶ καλῶς Πλατθὶς ὑφαινομένα.

776. (125) ΘΕΑΙΤΗΤΟΥ.

Τὰν γνώμαν ἐδόκει Φιλέας ὁ δεύτερος ἄλλων
Εἶμεν. Ὁ δὲ φθονερὸς κλαιέτω ἔσκε θάνῃ,
Ἀλλ' ἔμπας δόξας κενεὰ χάρις. Εἰν αΐδα γὰρ
Μίνω Θερσίτας οὐδὲν ἀτιμότερος.

777. (126) ΑΔΕΣΠΟΤΟΝ.

Ἐνθάδ' ἐγὼ ληςῆος ὁ τρὶς δειλαῖος ἄρηι
Ἐδμήθην, κεῖμαι δ' οὐδενὶ κλαιόμενος.

778. (127) ΔΙΟΣΚΟΡΙΔΟΥ.

Κἠγὼ Σωσίθεον κομέω νέκυν, ὅσσον ἐν ἄςει
Ἄλλον ἀπ' αὐθαίμων ἡμετέρων Σοφοκλῆν,
Σκίρτος ὁ πυῤῥιγένειος. Ἐκισσοφόρησε γὰρ ὡ 'νὴρ
Ἄξια, Φλιασίων νᾶ μα χοροὺς Σατύρων,
Κἠμὲ τὸν ἐν καινοῖς τεθραμμένον ἤθεσιν ἤδη
Ἤγαγεν εἰς μνήμην πατρίδ' ἀναρχαΐσας.

Καὶ πάλιν εἰσώρμησα τὸν ἄρσενα Δωρίδι μέσῃ
 Ῥυθμὸν πρός τ' αὐδὴν ἑλκόμενος μεγάλην.
Ἑπτὰ δέ μοι ἔρσων τύπος ὀ χερὶ καινοτομηθεὶς
 Τῇ φιλοκινδύνῳ φροντίδι Σωσιθέου.

779. (128) ΤΟΥ ΑΥΤΟΥ.

Τῷ κωμῳδογράφῳ κούφη κόνι τον Φιλάγωνα
 Κισσὸν ὑπὲρ τύμβου ζῶντα * Μάχωνι φέροις.
Οὐ γὰρ ἔχεις κηφῆνα παλίμπλυτον, ἀλλά τι τέχνας
 Ἄξιον ἀρχαίης λείψανον ἠμφιέσω.
Τοῦτο δὲ † πρέσβυς ἐρεῖ. Κέκροπος πόλι, καὶ παρὰ Νείλῳ
 Ἐστὶν ὅτ' ἐν Μούσαις δριμὺ πέφυκε θύμον.

780. (129) ΑΛΕΞΑΝΔΡΟΥ.

Σάρδιες ἀρχαῖαι πατέρων νόμος, εἰ μὲν ἐν ὑμῖν
 Ἐτρεφόμαν, κέρνας ἦς τις ἂν, ἢ μακελᾶς,
Χρυσοφόρος, ῥήσσων καλὰ τύμπανα. Νῦν δέ μοι Ἀλκμὰν
 Οὔνομα, καὶ Σπάρτας εἰμὶ πολυτρίποδος,

* Flor. Alexandriæ, Ptolemæi Euergetæ tempore.
† Sc. Macho.

Καὶ

Καὶ μούσας ἐδάην Ἑλικωνίδας, αἵ με τυράννων
Θῆκαν Δασκύλεω μείζονα καὶ Γύγεω.

781. (130) ΑΔΕΣΠΟΤΟΝ.

Πληρώσας στρατιὴν Σωτήριχος ἐνθάδε κεῖμαι,
Ὄλβον ἐμῶν καμάτων γλυκεροῖς τεκέεσσιν ἐάσας.
Ἦρξα δ' ἐν ἱππήεσσι, Γερήνιος οἷά τε Νέστωρ,
Ἐξ ἀδίκων δὲ πόνων κειμήλιον οὐδὲν ἔτευξα,
Τούνεκα καὶ μετὰ ποτμὸν ὁρῶ φάος * [ἁγνὸν] Ὀλύμπου.

782. (131) ΠΑΛΛΑΔΑ.

Ζητῶν ἐξεῦρες βιότου τέλος εὐτυχίης τε
Ἀρχὴν, τὴν ζωὴν πρὸς τέλος ἐρχομένην.
Ἀλλ' ἔτυχες τιμῆς, ὦ Γέσσιε, καὶ μετὰ μοῖραν
Σύμβολα τῆς ἀρχῆς ὕστατα δεξάμενος.

783. (132) ΑΔΗΛΟΝ.

Ενθάδε σῶμα ἔλειπεν Ἀπελλιάνος μέγ' ἄριστος,
Ψυχὴν δ' ἐν χείρεσσιν ἑὴν παρακάτθετο Χριστῷ.

* Suppl. Reiskius.

† 784.

785. (134) ΑΝΤΙΠΑΤΡΟΥ, οἱ δὲ ΦΙΛΙΠΠΟΥ.

Γλύκων *, τὸ Περγαμηνὸν Ἀσίδι κλέος,
Ὁ παμμάχων κεραυνὸς, ὁ πλατὺς πόδας,
Ὁ καινὸς Ἄτλας, αἵ τ' ἀνίκητοι χέρες,
Ἔῤῥον. Τοιῆνδε πρόσθεν ὔτ' ἐν Ἰταλοῖς,
Οὔθ' Ἑλλάδι τὸ πρῶτον, ὔτ' ἐν Ἀσίδι
Ὁ πάντα νικῶν Ἀΐδης ἀνέτραπεν.

786. (135) ΑΝΤΙΦΑΝΟΥΣ.

Ἡμισύ μευ ζώειν ἐδόκυν, ἔτι κεῖνό γε λεύσσων
Ἓν μόνον αἰπυτάτυ μῆλον ἀπ' ἀκρεμόνος.
Ἡ δὲ κύων, δένδρων καρποφθόρος, ἡ πτιλόνωτος
Κάμπη, ϗ τὸ μόνον βάσκανος ἐξέφαγεν.
Ὁ φθόνος ἐς πολὺν ὄχλον ἀπέβλεπεν, ὃς δὲ τὰ μικρὰ
Πορθεῖ, ϗ τύτυ γυῖα ῥάναιμ', ἔλεγεν.

† Extat Anthol. Steph. p. 195.

* Horat. Lib. 1. Ep. 1. 30. "Invicti membra *Glyconis*."

787. (139) ΑΠΟΛΛΩΝΙΔΟΥ, οἱ δὲ ΦΙΛΙΠΠΟΥ.

Θάμνου ποτ' ἄκρου ἀμφὶ πρῶνας ἥμενος
Τέττιξ, πτερῷ φλέγοντος ἡλίου μέσαν
Νηδὺν ῥαπίζων δαίδαλ' αὐτούργῳ μέλει,
Ἠδῆς κατωργάνιζε τῆς ἐρημίας.

* * * * *

Κρίτων ὁ πάσης ἰξόεργος πιαλεύς.
Τίσιν δ' ἔτισεν. Εἰς γὰρ ἠθάδας πάγας,
Σφαλεὶς ἀλᾶται παντὸς ἱμείρων πτεροῦ.

788. (197) ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΙΚΟΥ.

Κρῆσσα κύων ἐλάφοιο κατίχνιος ἔδραμε Γόργη
Ἔγκυος, * ἀμφοτέρην Ἄρτεμιν εὐξαμένη.
Τίκτε δ' ἀποκτείνουσα, θοὴ δ' ἐπένευσεν Ἐλευθὼ
Ἀμφὼ εὐαγρίης δῶρα καὶ εὐτοκίης.
Καὶ νῦν ἐννέα παισὶ διδοῖ γάλα. Φεύγετε Κρῆσσαι
Κεμμάδες ἐκ τοκάδων τέκνα διδασκόμενα.

* Et Lucinam et Venatricem.

789. (138) ΒΙΑΝΟΡΟΣ.

Καρφαλέος δίψει Φοίβου λάτρις εὖτε γυναικὸς
    Εἶδεν ὑπὲρ τύμβου κρωσσίον ὀμβροδόκην,
Κλάγξεν ὑπὲρ χείλους. Ἀλλ᾽ οὐ γένυς ἥπτετο βυσσοῦ,
    Φοῖβε, σὺ δ᾽ εἰς τέχνην ὄρνιν ἐκληρονόμεις.
Χερμάδα δ᾽ ἐμβάλλων σφαιρὰν, ποτὸν ἅρπαγι χείλει
    Ἔφθανε, μαιμάσσων πουλυλίλακτον ὕδωρ.

790. (139) ΛΕΩΝΙΔΟΥ.

Εὐμάραθον πρηῶνα καὶ εὐσκάνδικα λελογχὼς
    Ἑρμοῦ παῖ, ταύταν, Πὰν φίλος αἰγίβοσιν,
Καὶ λαχανηλόγῳ ἔσσο καὶ αἰγινομῆϊ προσηνής.
    Ἕξεις καὶ λαχάνων καὶ γλάγεος μερίδα.

791. (140) ΦΙΛΟΞΕΝΟΥ.

Τληπόλεμος ὁ Μυρεὺς Ἑρμᾶν, ἀφετήριον ἕρμα
    Ἱροδρόμοις, θῆκεν παῖς ὁ Πολυκρατέω,
Δὶς δέκ᾽ ἀπὸ σταδίων ἐναγώνιον. Ἀλλὰ πονεῖτε
    Μαλθακὸν ἐκ γονάτων ὄκνον ἀπωσάμενοι.

792. (141) ΑΔΗΛΟΝ.

Πρὶν μὲν ἁλικλύστου πέτρας ἐν βένθεσιν * ἦμαν,
Εὐαλθὲς πόντου φῦκος ἐπεννυμένα,
Νῦν δέ μοι ἱμερόεις κόλπων ἔντοσθεν † ἰαύει
Λάτρις εὐστεφάνου Κύπριδος ἁβρὸς ἔρως.

793. (142) ΛΕΩΝΙΔΟΥ ΤΑΡΑΝΤΙΝΟΥ.

Πέτρης ἐκ λισσῆς ψυχρὸν καταπίλμενον ὕδωρ
Χαίροις, καὶ Νυμφῶν ποιμενικὰ ξόανα,
Πέτραι τε, κρηνάων θ᾽ αἱ ἐν ὕδασι κόσμια ταῦτα
Ὑμέων, ὦ κοῦραι, μηρία τεγγόμεναι,
Χαίρετ᾽. Ἀριστοκλέης σὲ δ᾽ ὁδοίπορος, ᾧπερ ἀπῶσα
Δίψαν βαψάμενος, τουτὶ δίδωμι γέρας.

794. (143) ΔΑΜΟΣΤΡΑΤΟΥ.

Νύμφαι Ναϊάδες καλλίῤῥοον αἳ τόδε νᾶμα
Χεῖτε κατ᾽ οὐρείου πρῶνος ἀπειρέσιον.
Ὕμμιν ταῦτα πόρεν Δαμόστρατος Ἀντίλα υἱὸς
Ξέσματα, καὶ δοιῶν ῥινὰ κάπρων λάσια.

* Corallium. † Inſculptus.

795. (144) ΛΕΩΝΙΔΟΥ.

Οὐράνιον μίμημα γενεθλιακοῖσιν ἐν ὥραις
 Τοῦτ' ἀπὸ Νειλογενοῦς δέξο Λεωνίδεω,
Ποππαία, Διὸς εὖνι, * Σεβαστιὰς. Εὔαδε γάρ σοι
 Δῶρα, τὰ καὶ λέκτρων ἄξια καὶ σοφίης.

† 796.

797. (146) ΝΕΣΤΟΡΟΣ ΛΑΡΑΝΔΕΩΣ.

Σπείσατέ μοι Μοῦσαι λιγυρὴν εὐτερπέα φωνὴν,
Ἡδὺν ἀπὸ στομάτων Ἑλικωνίδος ὄμβρον ἀοιδῆς.
Ὄσσοι γὰρ ποθέουσιν ἀοιδοτόκου στόμα πηγῆ
Ὑμετέρων ἐπέων λιγυρῇ τέρπονται ἀοιδῇ.

798. (147) Ὁμηρόκεντρον.

Ἀκτῇ ἐπὶ προχοῦσῃ ἐπὶ πλατεῖ Ἑλλησπόντῳ
Παρθένος αἰδοίη ὑπερώϊον εἰσαναβᾶσα
Πύργῳ ἐφεστήκει γοόωσά τε μυρομένη τε.
Χρύσεον λύχνον ἔχουσα φάος περικαλλὲς ἐποίει.

* Nero. † Obſcænum deleri juſſimus.

Κεῖνον ἐφιεμένη τὸν κάμμορον εἴ ποθεν ἔλθοι
Νυχόμθυος, καὶ λαῖτμα τάχισ᾽ ἀλὸς ἐκπεραάσκων
Νύκτα δι᾽ ἀμβροσίην, ὅτε θ᾽ εὕδουσιν βροτοὶ ἄλλοι.
Ῥοχθεῖ γὰρ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο.
Ὅσσαι γὰρ νύκτες τε καὶ ἡμέραι ἐκγεγάασι,
Παρθένος ἠΐθέος τ᾽ ὀαρίζετον ἀλλήλοισιν
Εἰς εὐνὴν φοιτῶντε, φίλους λήθοντε τοκῆας,
Οἳ Σηστὸν καὶ Ἄβυδον ἔχον καὶ δῖαν Ἀρίσβην.

799. (148) ΝΟΣΣΙΔΟΣ ΛΕΣΒΙΑΣ.

Ἐλθοῖσαι ποτὶ ναὸν ἰδοίμεθα τᾶς Ἀφροδίτας
Τὸ βρέτας, ὃ χρυσῷ δαιδαλόεν τελέθει.
Εἵσατό μιν Πολίαρχις ἐπαυρομένα μάλα πολλὰν
Κτῆσιν ἀπ᾽ οἰκείου σώματος ἀγλαΐης.

800. (149) ΝΙΚΑΡΧΟΥ.

Κράνας εὐύδρου παρὰ νάμασι καὶ παρὰ Νύμφαις
Ἔστασέ με Σίμων Πᾶνα τὸν αἰγιπόδην.
Τεῦ δὲ χάριν; λέξω τοι. Ὅσον ποθέεις ἀπὸ κράνας
Καὶ πίε, καὶ κοίλᾳ κάλπι γελῶν ἄρυσαι.

Ποσσὶ ᾗ μή ποτε νίπτρα ‡ χεάνον κρυστάλλινα Νυμφᾶν,
    Δεῦρο τὸν ὑβριστὰν εἰς ἐμὲ δερκόμενος. *

801. (150) ΠΕΡΣΟΥ.

Κᾀμὲ τὸν ἐν σμικροῖς ὀλίγον θεὸν ἢν ἐπιβώσῃς
    Εὐκαίρως τεύξῃ. Μὴ μεγάλων δὲ γλίχου.
Ὡς, ἅ γε δημογέρων δύναται θεὸς ἀνδρὶ πενέστῃ
    Δωρεῖσθαι, τούτων κύριος εἰμὶ Τύχων.

802. (151) ΛΕΩΝΙΔΟΥ.

† Εὐάγρει, λαγόθηρα, καὶ εἰ πετεεινὰ διώκων
    Ἰξευτὴς ἥκεις τοῦθ' ὑπὸ λισσὸν ὄρος.
Κᾀμὲ τὸν ὑλήωρον ἀπὸ κρημνοῖο βόασον
    Πᾶνα. Συνάγρεύσω καὶ κυσὶ καὶ καλάμοις.

‡ Subjecit Reisk.
* Reliquos quatuor verſiculos omiſimus.
† Quiddam ſimile ſonant illa Propertii. Lib. 3. El. 12. V. 43.
    Et leporem quicunque venis venaberis, hoſpes,
        Et ſi forte meo tramite quæris avem.
    Et me Pana tibi comitem de rupe vocato,
        Sive petas calamo præmia, ſive cane.

803.

803. (152) ΚΡΙΝΑΓΟΡΟΥ.

Τὸν σκοπὸν Εὐβοίης ἁλικύμονος ἧσεν Ἀριςὼ
Ναύπλιον, ἐκ μολπῆς δ' ὁ θρασὺς ἐφλεγόμαν,
Ὁ ψευςὴς δ' ὑπὸ νύκτα Καφηρείης ἀπὸ πέτρης
Πυρσὸς ἐμὴν μετέβη δύσμορος εἰς κραδίην.

804. (153) ΑΝΤΙΠΑΤΡΟΥ.

Ξεῖνοι, παρθένος εἰμὶ τὸ δένδρεον. Εἴπατε Δάφνης
Φείσαθαι δμώων χερσὶν ἑτοιμοτόμοις,
Ἀντὶ δ' ἐμεῦ κομάρου τις ὁδοιπόρος, ἢ τερεβίνθου
Δρεπτέσθω χθαμαλὴν ἐς χύσιν. Οὐ γὰρ ἑκάς.
Ἀλλ' ἀπ' ἐμεῦ ποταμὸς μὲν ὅσον τρία, τοῦ δ' ἀπὸ πηγῶν
Ὕλη πανθήλης δυιὰ πέλεθρ' ἀπέχει.

805. (154) ΚΡΙΝΑΓΟΡΟΥ.

Τῆς ὄιος γενεὴ μὲν Ἀγαῤῥικὴ *, ἔνθεν Ἀράξεω
Ὕδωρ πιλοφόροις πίνεται Ἀρμενίοις.

* Agarri Gens hominum inter Mare Caſpium et Pontum Euxinum.

Χαῖται δ' οὐ, μήλοις ἅτε που μαλακοῖς, ἐπίμαλλοι,
  Ψεδναὶ δ' ἀγροτέρων τρηχύτεραι χιμάρων,
Νηδὺς δὲ τριτοκεῖ ἀνὰ πᾶν ἔτος, ἐκ δὲ γάλακτος
  Θήλη ἀεὶ μαστοῦ πλήθεται οὐθατίου.
Βλήχῃ δ' ἀσσοτάτω τερενῆς μυκήματι μόσχου.
  Ἄλλα γὰρ ἀλλοῖαι πάντα φέρουσι γέαι.

NOTITIA POETARUM,

QUORUM

NOMINA ET FRAGMENTA

IN

ANTHOLOGIA CONSTANTINI

CEPHALAE EXSTANT.

AΓΑΘΙΑΣ, aut ſecundum alios ΑΓΑΘΙΟΣ, AGATHIAS *Myrinaeus*, e Myrina Aeolidis civitate, Scholaſticus, ſub Juſtiniano Imp. clarus. Scripſit, praeter alia, de quibus Fabric. Vol. VI. Bibl. Gr. dixit, epigrammata, & aliorum vetuſtiora ſua aetate collegit. De quo ejus inſtituto diximus in praefatione, quantum novi- et ſatis eſt. Solummodo verſus illos ex ejus praefatione ex-

 cerptos,

cerptos, quibus ordinem ſuae Anthologiae expoſuit, e Vavaſſore, ſeu, quod idem eſt, e Fabricii Bibl. Gr. T. II. p. 692. repetam, quo docti lectores ipſi ſtatuant utrum rectius ſit quod p. 115. Commentariorum noſtrorum tradidi, primum Anthologiae ab Agathia conditae librum dedicatoria, ſecundum τὰ ἐκφραστικὰ tenuiſſe, an quod p. 13. præfationis noſtrae ad hoc opuſculum aſſeveravi, primum illius Anthologiae librum laudes deorum, ſecundum dedicatoria complexum fuiſſe. Verba haec ſunt:

Πρῶτα δὲ συλλέξαιμι παλαιγενέεσσιν ἐρίζων,
Ὅσσα περ ἐγράψαντο νέης γενετῆρες ἀοιδῆς,
Ὡς προτέροις μακάρεσσιν ἀνειμένα. Καὶ γὰρ ἐῴκει
Γράμματος ἀρχαίοιο σοφὸν μίμημα φυλάξαι.
Ἀλλὰ πάλιν μετεκεῖνα παλαίτερον εὖχος ἀείρει,
Ὅσσα περ ἡ γραφίδεσσι χαραξαμένη τινὶ χώρῳ,
Εἴτε καὶ εὐποίητον ἐπὶ βρέτας, εἴτε καὶ ἄλλης
Τέχνης ἐργοπόνοιο πολυσπερέεσσιν ἀέθλοις.
Καὶ τριτάτην βαλβῖδα νεήνιδος ἔλλαχε βίβλου
Ὅσσα θέμεν τύμβοισι, τά περ θεὸς ἐν μὲν ἀοιδῇ
Ἐκτελέειν νεύσειεν, ἐν ἀτρεκίῃ δὲ διώκειν.
Ὅσσα δὲ καὶ βιότοιο πολυσπερέεσσι κελεύθοις
Γράψαμεν ἀσταθέος τε τύχης σφαλεροῖσι ταλάντοις,
Δέρκεό μοι βίβλοιο παρὰ κρηπῖδα τετάρτης.
Καὶ τάχα καὶ πέμπτοιο χάρις θέλξειεν ἀέθλου,
Ὁππότε κερτομέοντες ἐπεσβόλον ἦχον ἀοιδῆς
Γράψαμεν. Ἑκταῖον δὲ μέλος κλέπτουσα Κυθήρη
Εἰς ὀάρους ἐλέγοιο παρατρέψειε παρειὴν,
Καὶ γλυκεροὺς ἐς ἔρωτας. Ἐν ἑβδομάτῃ δὲ μελίσσῃ
Εὐφροσύνας Βάκχοιο, φιλακρήτους τε χορείας,
Καὶ μέθυ, καὶ κρητῆρα, καὶ ὄλβια δεῖπνα νοήσεις.

" *Et*

"*Et primum colligam, æmulatus antiquos, quæ ſcripſerunt novi conditores carminis, ut majoribus Diis conſecrata. Etenim conveniebat veterum ſcriptorum præclarum exemplar retinere. Deinde etiam antiquum decus attollunt quæcunque poeta ſtilo incidit quovis loco, ſive in ſtatuis affabre factis, ſive in alterius artis laborioſæ diverſis monumentis. Ac tertium ſpatium novi ſortita ſunt libri quæcunque poſuimus in ſepulcris, quæ quidem Apollo tum verſibus perficere annuerit, tum ex vero perſequi. Quae verò & de vitæ multiplici ratione ac via ſcripſimus, & de inconſtantis fortunæ fallacibus momentis, aſpice, libri circa ſedem quartam. Ac delectare poteſt forſan quinti venuſtas libri, ubi irridentes convitia & probroſum carmen ſcripſimus. Sextum volumen ſurripiens cithara, in feminas elegorum deflexerit copiam, atque in dulces amores. Septimo denique in florilegio ſive apiario gaudia Bacchi, & amicas meri choreas, & vinum, & pocula, & lauta convivia cogitabis.*"

ΑΔΑΙΟΣ. ADAEVS, vel *Addaeus Macedo*, videtur diverſus eſſe ab *Addaeo Mitylenaeo*. Nudum *Addaei* nomen praeſcriptum oſtendit epigramma, quod Anthol. Henr. Stephani p. 49. exſtat. *Macedonem* appellat p. 421. *Mitylenaeum* p. 247. niſi credere malis eundem hominem diverſa geſſiſſe gentilitia nomina, unum a patria, alterum à ſede habitationis. Cujus rei ſimilia exempla et hoc ipſo in indice plura occurrent, et collecta non exiguo numero fuerunt a Jonſio de Scriptor. hiſt. Philoſ. I. 2. p. 14. Ita Galenus aliquem Aſclepiadem memorat Κιανὸν Βιθυνὸν, τὸν καὶ Πρεσσίαν ἐπικληθέντα. Menippus modo Sinopenſis, modo Phoenix audit, quia Sinopae natus ipſe, majores Gadareni fuerant. V. Menage ad Diogen. Laert. VI. 99. Sic Rhintho aliis Tarentinus, aliis Syracuſanus eſt. Pluribus exemplis

in re obvia parcam. Vid. dicenda de Apollonida & Dionyſio. Addaeum Macedonem fuiſſe, videtur carmen Ienſianum 17. prodere, ubi Dobirum et Peuceſtam venatorem uri, memorat. *Adaeus* quoque nomen eſt Macedonicum, uti e Polybii L. XV. p. 994. 4. apparet. Quando vixerit non conſtat; neque colligi poteſt ex ejus fragmentis. E Carm. 767. id apparet aut origine, aut civitate Macedonem fuiſſe, quia Potidaeae meminit. Quum deſtructa a Philippo rege Potidaea deinceps a Caſſandro reſtituta fuerit, nequit etiam ex hoc loco argumentum de ipſius aetate peti. Gentilem omnes ejus reliquiae produnt. Quum liquido non conſtet, Macedo & Mitylaenaeus Adaeus idemne ſit, & porro idemne Mitylenaeus Addaeus epigrammatarius, cum Addaeo Mitylenaeo illo ſit, cui librum περὶ διαθέσεως tribuit Athenaeus p. 471. & 606. nequit etiam hinc aetas hominis definiri. Quod ſi tamen idem homo ſit Athenaeo et Anthologiae laudatus, et idem porro, ad quem Polemo periegetes libros ſcripſit de donariis, inſcriptionibus, antiquitatibus et rebus memorabilibus urbium Graecarum, jam conſtat de ipſius aetate. Vixit enim aequalis illi Polemoni, hoc eſt, regi Antigono, ſuppar Alexandro M. Et ſane mentio Potidaeae ab ipſo facta ſatis ſuadet eum bellis ſucceſſorum Alexandri M. inteſtinis interfuiſſe. Nomen enim illius urbis ſub Romanis prorſus ſilet. Carmen Jenſ. 67. propter prodigioſum tumorem non huic vetuſto, ſed recentiori alicui Adaeo tribuere malim. Nomen hoc enim ſaeculo IV. adhuc in uſu fuiſſe apparet e Cod. Theodoſian. L. 8. ubi Addaeus Comes et Magiſter utriuſque militiae per orientem appellatur.

ΑΔΡΙΑΝΟΣ. ADRIANVS *Imperator* quando vixerit notum; ſcilicet ſaeculo poſt C. N. ſecundo non multum profecto

